N. 4. 34.
1326

ГРЕЧЕСКІЕ КЛАССИКИ,

ПЕРЕВЕДЕННЫЕ

СЪ ГРЕЧЕСКАГО ЯЗЫКА

ИВАНОМЪ МАРТЫНОВЫМЪ.

ЦЕНЗУРНЫЙ КОМИТЕТЪ ПЕЧАТЬ

ЧАСТЬ XV.

КНИГА 18.

3 06
7012

САНКТПЕТЕРБУРГЪ,
ВЪ ТИПОГРАФІИ ІОС. ІОАННЕСОВА,
1826.

Печатать позволено:

Санктпетербургъ 26 Октября 1825 года.

Цензоръ Александръ Бируковъ



ИСТОРІЯ

ГЕРОДОТОВА,

ПЕРЕВЕДЕННАЯ СЪ ГРЕЧЕСКАГО ЯЗЫКА

ИВАНОМЪ МАРТЫНОВЫМЪ,

съ примѣчаніями Переводчика.

ЧАСТЬ I,

СОДЕРЖАЩАЯ ВЪ СЕБѢ КНИГИ 1 И 2.

САНКТПЕТЕРБУРГЪ,

ВЪ ТИПОГРАФІИ Іос. Іоаннесова,

1826.

16175

Державний
музей
Т.Г.Шевченка
бібліотека

ПРЕДИСЛОВІЕ.

Вмѣсто собственнаго Предисловія, предлагаю здѣсь краткую выписку изъ Предисловія Французскаго переводчика Геродотовой Исторіи, Міотта. Выписки сей достаточно будетъ къ оправданію моего предпріятія, перевесть сего отца Исторіи на языкъ Россійскій. Міоттъ о примѣчаніяхъ, сдѣланныхъ имъ на Геродота, коими и я пользовался, говоритъ:

„Читая сіи примѣчанія, не безъ нѣкотораго удивленія, думаю, увидятъ, сколь мало сей Историкъ, коего Древніе многократно обвиняли во лжи и легковѣріи, заслуживаетъ сію сугубую укоризну. Безъ сомнѣнія, удивляться будутъ событіямъ, имъ замѣченнымъ, которыя, въ началѣ, почитаемы были баснословными, но бытіе коихъ подтвердили новѣйшія путешествія. Наконецъ, вскорѣ убѣдятся, что сіи укоризны произошли отъ недобросовѣсш-

ности и худаго расположенія духа, каковыя заключаются въ сочиненіи о злобѣ Геродота, приписываемомъ Плутарху (*), а еще больше отъ невѣжества Критиковъ, и невозможности, въ каковой они находились, сдѣлать повѣрку событіямъ, и даже понять оныя. Особливо Латинскіе Писатели находились въ семъ послѣднемъ положеніи. Бывъ легковѣрнѣе Геродота: ибо они вѣрили баснямъ, ими повторяемымъ, чего Геродотъ почти никогда не дѣлаетъ, они совершенно лишены были познаній, нужныхъ для сужденія о многихъ предмѣтахъ. Склонность къ изслѣдованіямъ по части Астрономіи, Географіи, Естественной Исторіи, столь распространившимся между Греками, весьма поздно перешла къ Римлянамъ, и у нихъ въ нау-

(*) Смот. превосходное опроверженіе сего сочиненія, написанное Абб. Гейно, въ Mémoires de l' Académie des Inscriptions et Belles.Lettres, tome XIX, p. 113 et suiv.

кахъ никогда не упражнялись съ ревностію и великимъ успѣхомъ. Какая, напримѣръ, разность между Аристотелемъ и Плиніемъ, хотя послѣдній жилъ спустя болѣе трехъ вѣковъ послѣ перваго!——— Наконецъ, Римляне, ни въ какое время, не имѣли путешественниковъ, проѣжжающихъ отдаленныя страны единственно съ тѣмъ намѣреніемъ, чтобъ собирать происшествія, учиться изъ Исторіи народовъ и нравовъ ихъ или испытывать произведенія природы. Они ѣздили въ Грецію, Азію, Африку для того только, чтобъ принести туда войну или рабство. — Посему Римляне въ положительныхъ познаніяхъ всегда оставались позади Грековъ. — Сей-то причинѣ надобно приписывать презрѣніе, каковое многіе Латинскіе Писатели, и самъ Цицеронъ, оказывали Геродоту. Изысканія новѣйшихъ Ученыхъ, Египетскій походъ, достовѣрныя повѣствованія путешественниковъ, от-

мстили за него въ сей обидѣ, и новыя открытія каждый день его оправдываютъ. Еще не много времени прошло, какъ сомнѣвались въ его правдивости въ описаніи вида древнихъ Египтянъ, коихъ изображаетъ онъ черными, какъ бы возможно было, чтобы подобное дѣло, признанное ложнымъ, было выставлено въ Исторіи, сочиненной человѣкомъ, который самъ былъ въ той странѣ, и который, среди величайшихъ торжествъ Греціи, читалъ свое твореніе въ присутствіи множества слушателей, изъ коихъ большая часть, безъ сомнѣнія, странствовала въ Египтѣ, или по крайней мѣрѣ видѣла Египтянъ. Но сколь ни неосновательно сіе мнѣніе, одинъ памятникъ, открытый и объясненный въ наше время, разсѣялъ оное совершенно. Древняя рукопись, найденная въ одномъ ящикѣ муміи, доказываетъ, что за сточетыре года до Христіанскаго лѣтосчисленія, находилось еще

такое черное Египетское поколѣніе, каковое описано Иродотомъ (*). Самая баснь о муравьяхъ, или лучше, о животномъ, имѣющемъ врожденное свойство зарываться въ землю подобно муравьямъ (ибо такъ, можетъ быть, надобно понимать текстъ Геродота, въ коемъ можно было бы сей приличный смыслъ возстановить небольшими поправками), баснь, говорю, о сихъ животныхъ, кои вырываютъ для себя жилье въ золотомъ пескѣ Индіи, кажется нынѣ сходствующею съ однимъ дѣйствіемъ Естественной Исторіи, которое во время Геродота было обезображено. Г. Велтгеймъ, въ самомъ дѣлѣ, въ Геродотовомъ описаніи свойствъ сего мнимаго муравья признаетъ животное, извѣстное подъ именемъ *Canis corsac*, (*Корсакъ*), породы собаки или лисицы; и весьма достойно примѣчанія, что Геродотъ сихъ муравьевъ въ вели-

(*) Revue Encyclop. t. X. mai 1821, 20e livr. p. 370.

чинѣ сравниваетъ съ собакою или лисицею (*). Такимъ образомъ, все непрестанно содѣйствуетъ къ оптищенію за несправедливыя укоризны, дѣлаемыя Иродоту.“

„Какъ не удивляться еще толикому множеству живыхъ описаній народовъ, мѣстъ, вѣроисповѣданій, нравовъ, обычаевъ, памятниковъ искуствъ, часто сопровождаемыхъ мудрою критикою? Какъ не быть поражену сими разысканіями о Естественной Исторіи, о климатѣ, вездѣ запечатлѣнными даромъ замѣчанія и тонкостію ощущенія, кои Писателя оныхъ, по мнѣнію знаменитѣйшихъ нашихъ Ученыхъ, поставляютъ на ряду съ хорошими наблюдателями? Если онъ иногда находился далеко опъ истины: то въ семъ виновно было время, въ которое онъ жилъ: онъ могъ знать только то, что тогда знаемо было. Но обо всемъ,

---

(*) См. кн. III. гл. CII.

что видѣлъ и наблюдалъ самъ, онъ судилъ здраво и съ опытною разборчивостію, и пр.“

Поелику истина есть главная основа Исторіи, то я счелъ не излишнею сію краткую выписку для читателей, имѣющихъ какія либо предубѣжденія объ Геродотѣ.

Для насъ, Русскихъ, Исторія сія преимущественно занимательна и драгоцѣнна, особливо въ тѣхъ мѣстахъ, гдѣ Историкъ описываетъ страны, входящія въ предѣлы нашего любезнаго отечества, и племена, въ древности оныя населявшія.

О достоинствѣ слога его, кажется, менѣе или почти нѣтъ никакаго разногласія.

Иванъ Мартыновъ.

МУЗЫ

или

ДЕВЯТЬ КНИГЪ

ИСТОРІИ ГЕРОДОТОВОЙ.

ΙΣΤΟΡΙΗ ΗΡΟΔΟΤΟΥ.

ΒΙΒΛΟΣ ΠΡΩΤΗ.

ΚΛΕΙΩ.

Ἡροδοτου Ἁλικαρνησσέος ἱστορίης ἀπόδεξις ἥδε, ὡς μήτε τὰ γενόμενα ἐξ ἀνθρώπων τῷ χρόνῳ ἐξίτηλα γένηται, μήτε ἔργα μεγάλα τε καὶ θωυμαστά, τὰ μὲν Ἕλλησι, τὰ δὲ βαρβάροισι ἀποδεχθέντα, ἀκλεᾶ γένηται· τά τε ἄλλα, καὶ δι' ἣν αἰτίην ἐπολέμησαν ἀλλήλοισι.

1. ΠΕΡΣΕΩΝ μέν νυν οἱ λόγιοι Φοίνικάς Φασι γενέσθαι τῆς διαφορῆς αἰτίους. τούτους γὰρ ἀπὸ τῆς Ἐρυθρῆς καλεομένης θαλάσσης ἀπικομένους ἐπὶ τήνδε τὴν θάλασσαν, καὶ οἰκήσαντας τοῦτον τὸν χῶρον τὸν καὶ νῦν οἰκέουσι, αὐτίκα ναυτιλίῃσι μακρῇσιν ἐπιθέσθαι. ἀπαγινέοντας δὲ Φορτία Αἰγύπτιά τε καὶ Ἀσσύρια, τῇ τε ἄλλῃ χώρῃ ἐσαπικνέεσθαι, καὶ δὴ καὶ ἐς Ἄργος. τὸ δὲ Ἄργος τοῦτον τὸν χρόνον προέσχε ἅπασι τῶν ἐν τῇ νῦν Ἑλλάδι καλεομένῃ χώρῃ. ἀπικομένους δὲ τοὺς Φοίνικας ἐς δὴ τὸ Ἄργος τοῦτο, διαθε-

ИСТОРІЯ ГЕРОДОТА.

КНИГА ПЕРВАЯ.

КЛІО.

Геродотъ Аликарнасскій издаетъ сіи изслѣдованія какъ разныхъ другихъ предмѣтовъ, такъ и причины браней, бывшихъ между Эллинами и Варварами, дабы ни событія, съ теченіемъ времени, между людьми не истребились, ни великія и дивныя дѣла, Эллинами и Варварами совершенныя, не остались безславными.

I. Ученые Персидскіе говорятъ, что виновниками вражды были Финикіяне. Они, пришедъ отъ такъ именуемаго Чермнаго Моря къ морю нашему и поселившись по берегамъ онаго, въ странѣ, и нынѣ обитаемой ими, немедленно приступили къ отдаленнымъ мореплаваніямъ, и начали возить Египетскіе и Ассирійскіе товары какъ въ другія страны, такъ и въ Аргосъ. Въ сіе время Аргосъ былъ отличнѣе всѣхъ городовъ въ странѣ нынѣ называемой Элладою. Финикіяне, прибывъ въ

σθαι τὸν Φόρτον. πέμπτῃ δὲ ἢ ἕκτῃ ἡμέρῃ ἀπ' ἧς ἀπίκοντο, ἐξεμπολημένων σφι σχεδὸν πάντων, ἐλθεῖν ἐπὶ τὴν θάλασσαν γυναῖκας ἄλλας τε πολλὰς, καὶ δὴ καὶ τοῦ βασιλῆος θυγατέρα. τὸ δέ οἱ ὄνομα εἶναι, κατὰ ταὐτὸ τὸ καὶ Ἕλληνες λέγουσιν, Ἰοῦν· ταύτας σάσας κατὰ πρύμνην τῆς νηὸς, ὠνέεσθαι τῶν φορτίων, τῶν σφιν ἦν θυμὸς μάλιστα· καὶ τὰς Φοίνικας διακελευσαμένους ὁρμῆσαι ἐπ' αὐτάς. τὰς μὲν δὴ πλεῦνας τῶν γυναικῶν ἀποφυγέειν, τὴν δὲ Ἰοῦν σὺν ἄλλῃσιν ἁρπασθῆναι. ἐσβαλλομένους δὲ ἐς τὴν νέα, οἴχεσθαι ἀποπλέοντας ἐπ' Αἰγύπτου.

2. Οὕτω μὲν Ἰοῦν ἐς Αἴγυπτον ἀπικέσθαι λέγουσι Πέρσαι, ὐκ ὡς Φοίνικες· καὶ τῶν ἀδικημάτων τοῦτο ἄρξαι πρῶτον. μετὰ δὲ ταῦτα, Ἑλλήνων τινὰς (ὐ γὰρ ἔχουσι τὄνομα ἀπηγήσασθαι) Φασὶ τῆς Φοινίκης ἐς Τύρον προσχόντας, ἁρπάσαι τοῦ βασιλῆος τὴν θυγατέρα Εὐρώπην. εἵησαν δ' ἂν οὗτοι Κρῆτες. ταῦτα μὲν δὴ ἴσα πρὸς ἴσα σφι γενέσθαι. μετὰ δὲ ταῦτα, Ἕλληνας αἰτίους τῆς δευτέρης ἀδικίης γενέσθαι. καταπλώσαντας γὰρ μακρῇ νηὶ ἐς Αἶάν τε τὴν Κολχίδα καὶ ἐπὶ Φᾶσιν ποταμὸν, ἐνθεῦτεν, διαπρηξαμένους καὶ τἆλλα τῶν εἵνεκεν ἀπίκατο, ἁρπάσαι τοῦ βασιλῆος τὴν θυγατέρα Μηδείην. πέμψαντα δὲ τὸν Κόλχον ἐς τὴν Ἑλλάδα κήρυκα, αἰ-

Аргосъ, расклали товаръ на продажу. На пятый или шестый день послѣ ихъ прибытія, когда все почти было распродано, пришло къ морю множество женщинъ, въ томъ числѣ и Царевна. Имя ей было, какъ то утверждаютъ и Эллины, Іо, дочь Инахова. Когда онѣ, ставъ у кормы ворабельной, покупали товары, какіе больше нравились имъ; Финикіяне, сговорясь между собою, бросились на нихъ. Большая часть женщинъ убѣжала; но Іо съ прочими поимана. Финикіяне, отведя ихъ на корабль, отплыли въ Египетъ.

II. Такимъ-то образомъ Іо прибыла въ Египетъ, какъ говорятъ Персы, вопреки Финикіянамъ; и это было первымъ началомъ обидъ. Послѣ сего, нѣкоторые Эллины, (коихъ именъ не могутъ припомнить; были же они Критяне) прибывъ, говорятъ, изъ Финикіи въ Тиръ, похитили Царевну *Европу*; и симъ образомъ воздали обидою за обиду. Потомъ, Эллины были виновниками второй обиды; ибо, приплывъ на длинномъ кораблѣ въ Эю Колхидскую на рѣку Фасисъ, и, исполнивъ прочія дѣла, для коихъ прибыли, похитили оттуда Царевну *Медею*. Когда же Царь Колхидскій послалъ въ Элладу глашатая, просить удовлетворенія за похищеніе и требо-

τέειν τε δίκας τῆς ἁρπαγῆς, καὶ ἀπαιτέειν τὴν θυγατέρα. τοὺς δὲ ὑποκρίνασθαι, ὡς οὐδὲ ἐκείνοι Ἰοῦς τῆς Ἀργείης ἐδοσάν σφι δίκας τῆς ἁρπαγῆς, οὐδὲ ὧν αὐτοὶ δώσειν ἐκείνοισι.

3. Δευτέρῃ δὲ λέγουσι γενεῇ μετὰ ταῦτα Ἀλέξανδρον τὸν Πριάμου, ἀκηκοότα ταῦτα, ἐθελῆσαί οἱ ἐκ τῆς Ἑλλάδος δι ἁρπαγῆς γενέσθαι γυναῖκα, ἐπισταμένον πάντως ὅτι οὐ δώσει δίκας· οὐδὲ γὰρ ἐκείνους διδόναι. οὕτω δὴ ἁρπάσαντος αὐτὸν Ἑλένην, τοῖσιν Ἕλλησι δόξαι, πρῶτον πέμψαντας ἀγγέλους, ἀπαιτέειν τε Ἑλένην, καὶ δίκας τῆς ἁρπαγῆς αἰτέειν, τοὺς δὲ, προϊσχομένων ταῦτα, προφέρειν σφι Μηδείης τὴν ἁρπαγήν· ὡς οὐ δόντες αὐτοὶ δίκας, οὐδὲ ἐκδόντες ἀπαιτεῦντων, βουλοίατο σφι παρ' ἄλλων δίκας γίνεσθαι.

4. Μέχρι μὲν ὧν τούτου, ἁρπαγὰς μούνας εἶναι παρ' ἀλλήλων· τὸ δὲ ἀπὸ τούτου, Ἕλληνας δὴ μεγάλως αἰτίους γενέσθαι. πρότερους γὰρ ἄρξαι στρατεύεσθαι ἐς τὴν Ἀσίην, ἢ σφέας ἐς τὴν Εὐρώπην. τὸ μὲν νυν ἁρπάζειν γυναῖκας, ἀνδρῶν ἀδίκων νομίζειν ἔργον εἶναι· τὸ δὲ ἁρπασθεισέων σπουδὴν ποιήσασθαι τιμωρέειν, ἀνοήτων· τὸ δὲ μηδεμίην ὥρην ἔχειν ἁρπασθεισέων, σωφρόνων. δῆλα γὰρ δή, ὅτι εἰ μὴ αὐταὶ ἐβου-

вать дочь обратно; Эллины отвѣчали, что какъ имъ никакаго удовлетворенія не сдѣлано за похищеніе Аргивской Іо: то и они не сдѣлаютъ.

III. Во второмъ, говорятъ, поколѣніи послѣ сего Александръ, сынъ Пріамовъ, услышавъ о томъ, вздумалъ похищеніемъ получить себѣ жену изъ Эллады, увѣривъ себя, что и онъ не будетъ наказанъ, поелику другіе наказаны не были. И такъ онъ похитилъ Елену; но Эллины разсудили, послав повѣренныхъ, требовать возвращенія Елены и удовлетворенія за похищеніе. Однакожъ на сіе укорили ихъ похищеніемъ Медеи и сказали, что, какъ сами они не сдѣлали удовлетворенія и требующимъ не выдали ее; то искали бы удовлетворенія себѣ отъ другихъ.

IV. До нынѣ происходили однѣ только похищенія; съ сего же времени, Эллины сдѣлались виновниками важнѣйшихъ обидъ: ибо они внесли оружіе въ Азію, прежде, нежели Персы въ Европу. Персы думаютъ, что похищать женъ есть дѣло людей несправедливыхъ; стараться мстить за похищенныхъ, — дѣло безумныхъ: на противъ, — нимало не заботиться о похищенныхъ, дѣло благоразумныхъ; ибо ясно, что, если бы онѣ сами не

λέατο, ὐκ ἂν ἡρπάζοντο. σφέας μὲν δὴ τὺς ἐκ τῆς Ἀσίης λέγυσι Πέρσαι ἁρπαζομενέων τῶν γυναικῶν λόγον ὐδένα ποιήσασθαι· Ἕλληνας δὲ Λακεδαιμονίης εἵνεκεν γυναικὸς σύλον μέγαν συναγεῖραι, καὶ ἔπειτα ἐλθύντας ἐς τὴν Ἀσίην, τὴν Πριάμε δύναμιν κατελεῖν. ἀπὸ τύτυ αἰεὶ ἡγήσασθαι τὸ Ἑλληνικὸν σφίσιν εἶναι πολέμιον. τὴν γὰρ Ἀσίην καὶ τὰ ἐνοικέοντα ἔθνεα βάρβαρα οἰκιεῦνται οἱ Πέρσαι, τὴν δὲ Εὐρώπην καὶ τὸ Ἑλληνικὸν ἥγηνται κεχωρίσθαι.

5. Οὕτω μὲν Πέρσαι λέγυσι γενέσθαι, καὶ διὰ τὴν Ἰλίυ ἅλωσιν εὐρίσκυσι σφίσιν ἐξύσαν τὴν ἀρχὴν τῆς ἔχθρης τῆς ἐς τὺς Ἕλληνας. περὶ δὲ τῆς Ἰοῦς ὐκ ὁμολογέυσι Πέρσῃσι ὅτω Φοίνικες. ὐ γὰρ ἁρπαγῇ σφέας χρησαμένυς λέγυσι ἀγαγεῖν αὐτὴν ἐς Αἴγυπτον, ἀλλ' ὡς ἐν τῷ Ἄργει ἐμίσγετο τῷ ναυκλήρῳ τῆς νηός. ἐπεὶ δὲ ἔμαθεν ἔγκυος ἐξύσα, αἰδεομένη τὺς τοκέας, ὅτω δὴ ἐθελοντὴν αὐτὴν τοῖσι Φοίνιξι συνεκπλῶσαι, ὡς ἂν μὴ κατάδηλος γένηται. ταῦτα μέν νυν Πέρσαι τε καὶ Φοίνικες λέγυσι. ἐγὼ δὲ περὶ μὲν τύτων ὐκ ἔρχομαι ἐρέων ὡς ὅτως ἢ ἄλλως κως ταῦτα ἐγένετο· τὸν δὲ οἶδα αὐτὸς πρῶτον ὑπάρξαντα ἀδίκων ἔργων ἐς τὺς Ἕλληνας, τοῦ-

хотѣли, ихъ бы не похитили. Посему они, хотя и Азіатцы, такъ говорятъ Персы, — о похищенныхъ женщинахъ никакой заботы не имѣютъ; напротивъ, Греки, ради Лакедемонянки, собрали великій флотъ; потомъ, пошедъ въ Азію, разрушили державу Пріама: съ того времени Персы Эллинскій народъ всегда почитали своими врагами. Ибо Персы Азію и варварскихъ народовъ, обитающихъ въ ней, себѣ присвоиваютъ; а Европу и Эллиновъ почитаютъ къ нимъ непринадлежащими.

V. Такъ было сіе, — какъ говорятъ Персы, и начало вражды своей съ Эллинами производятъ со времени раззоренія Иліона. Въ повѣствованіи же объ Іо Финикіяне не согласны съ Персами вотъ какъ: они говорятъ, что не хищеніе употреблено ими для привезенія ея въ Египетъ; но она, совокупясь въ Аргосѣ съ корабельщикомъ, почувствовала себя беременною; почему, боясь родителей, сама по своей волѣ уѣхала съ Финикіянами, дабы не открылось ея преступленіе. Вотъ что повѣствуютъ и Персы и Финикіяне. Но такъ ли то было или иначе; въ прѣніе о семъ я не вхожу; а показавъ того, кого почитаю виновникомъ первыхъ обидъ, нанесен-

τον σημήνας, παραβήσομαι ἐς τὸ πρόσω τὸν λόγου, ὁμοίως σμικρὰ καὶ μεγάλα ἄστεα ἀνθρώπων ἐπεξιών. τὰ γὰρ τοπάλαι μεγάλα ἦν, τὰ πολλὰ αὐτῶν σμικρὰ γέγονε· τὰ δ' ἐπ' ἐμεῦ ἦν μεγάλα, πρότερον ἦν σμικρά. τὴν ἀνθρωπηίην ὧν ἐπισάμενος εὐδαιμονίην ἐς ἐδαμὰ ἐν ταὐτῷ μένουσαν, ἐπιμνήσομαι ἀμφοτέρων ὁμοίως.

6. ΚΡΟΙΣΟΣ ἦν Λυδὸς μὲν γένος, παῖς δὲ Ἀλυάττεω· τύραννος δὲ ἐθνέων τῶν ἐντὸς Ἅλυος ποταμοῦ, ὃς ῥέων ἀπὸ μεσαμβρίης μεταξὺ Σύρων καὶ Παφλαγόνων, ἔξεα πρὸς βορέην ἄνεμον ἐς τὸν Εὔξεινον καλεόμενον πόντον. οὗτος ὁ Κροῖσος, βαρβάρων πρῶτος τῶν ἡμεῖς ἴδμεν, τοὺς μὲν κατεστρέψατο Ἑλλήνων ἐς φόρου ἀπαγωγήν, τοὺς δὲ, φίλους προσεποιήσατο. κατεστρέψατο μὲν Ἰωνας τε καὶ Αἰολέας, καὶ Δωριέας τοὺς ἐν τῇ Ἀσίῃ· φίλους δὲ προσεποιήσατο Λακεδαιμονίους. πρὸ δὲ τῆς Κροίσου ἀρχῆς πάντες Ἕλληνες ἦσαν ἐλεύθεροι. τὸ γὰρ Κιμμερίων στρατευμα τὸ ἐπὶ τὴν Ἰωνίην ἀπιχόμενον, Κροίσου ἐὸν πρεσβύτερον, οὐ καταστροφὴ ἐγένετο τῶν πολίων, ἀλλ' ἐξ ἐπιδρομῆς ἁρπαγή.

7. Ἡ δὲ ἡγεμονίη οὕτω περιῆλθεν, ἐοῦσα Ἡρακλειδέων, ἐς τὸ γένος τὸ Κροίσου, καλεομέ-

ныхъ Эллинамъ, перейду къ дальнѣйшее повѣствованіе, прохо дя какъ малые такъ и великіе города народовъ. Ибо многіе изъ нѣхъ, кои въ древности были великими, содѣлались малыми; и кои въ мое время были велики, тѣ прежде были малыми. Вѣдая, что человѣческое благополучіе ни какъ не бываетъ въ одномъ положеніи, я упомяну о тѣхъ и другихъ.

VI. Крезъ былъ родомъ Лидянинъ, сынъ Аліатта, Царь народовъ, обитающихъ на западъ отъ рѣки Алиса; рѣка сія, протекая отъ Юга между Сиріею и Паѳлагоніею, къ сѣверу впадаетъ въ Понтъ Эвксинскій. Сей Крезъ, первый изъ варваровъ, намъ извѣстныхъ, иныхъ изъ Эллиновъ принудилъ платить себѣ дань, съ другими заключилъ дружескій союзъ: къ дани принудилъ Іонянъ, Эолянъ и Дорянъ, обитавшихъ въ Азіи; дружескій союзъ заключилъ съ Лакедемонянами. До царствованія Крезова всѣ Эллины были свободны: ибо походъ Киммеріянъ на Іонію былъ до временъ Креза, и имѣлъ предѣломъ не покореніе областей, но хищеніе посредствомъ набѣга.

VII. Верховная власть, принадлежавшая прежде Ираклидамъ, въ родъ Креза, называв-

νυς δὲ Μερμνάδας. ἦν Κανδαύλης, τὸν οἱ Ἕλληνες Μυρσῖλον ὀνομάζουσι, τύραννος Σαρδίων, ἀπόγονος δὲ Ἀλκαίου τοῦ Ἡρακλέος. Ἄγρων μὲν γὰρ ὁ Νίνου, τοῦ Βήλου, τοῦ Ἀλκαίου, πρῶτος Ἡρακλειδέων βασιλεὺς ἐγένετο Σαρδίων· Κανδαύλης δὲ ὁ Μύρσου, ὕστατος. οἱ δὲ πρότερον Ἀγρωνος βασιλεύσαντες ταύτης τῆς χώρης, ἦσαν ἀπόγονοι Λυδοῦ τοῦ Ἄτυος· ἀπ' ὅτευ ὁ δῆμος Λύδιος ἐκλήθη ὁ πᾶς ἔθνος, πρότερον Μῄων καλεόμενος. παρὰ τούτων δὲ Ἡρακλεῖδαι ἐπιτραφθέντες, ἔσχον τὴν ἀρχὴν ἐκ θεοπροπίου, ἐκ δούλης τε τῆς Ἰαρδάνου γεγονότες καὶ Ἡρακλέος· ἄρξαντες μὲν ἐπὶ δύο τε καὶ εἴκοσι γενεὰς ἀνδρῶν, ἔτεα πέντέ τε καὶ πενταχόσια, παῖς παρὰ πατρὸς ἐκδεχόμενος τὴν ἀρχὴν, μέχρι Κανδαύλεω τοῦ Μύρσου.

8. Οὗτος δὴ ὢν ὁ Κανδαύλης ἠράσθη τῆς ἑωυτοῦ γυναικός· ἐρασθεὶς δὲ, ἐνόμιζε οἱ εἶναι γυναῖκα πολλὸν πασέων καλλίστην. ὥστε δὲ ταῦτα νομίζων· ἦν γάρ οἱ τῶν αἰχμοφόρων Γύγης ὁ Δασκύλου αἱρεσκόμενος μάλιστα· τούτῳ τῷ Γύγῃ καὶ τὰ σπουδαιέστερα τῶν πρηγμάτων ὑπερετίθετο ὁ Κανδαύλης, καὶ δὴ καὶ τὸ εἶδος τῆς γυναικὸς ὑπερεπαινέων. χρόνου δὲ οὐ πολλοῦ διελθόντος, (χρῆν γὰρ Κανδαύλῃ γενέσθαι κακῶς), ἔλεγε πρὸς τὸν Γύγην τοιάδε· „Γύγη, οὐ γάρ σε

шійся Мермнадами, перешла слѣдующимъ образомъ. Кандавлъ, коего Эллины именуютъ Мирсиломъ, былъ царемъ Сардійскимъ. Онъ происходилъ отъ Алкея, сына Ираклова; ибо Агронъ, сынъ Нина, внукъ Вила, правнукъ Алкея, первый изъ Ираклидовъ былъ Царемъ Сардійскимъ; а Кандавлъ, сынъ Мирса, послѣднимъ. Царствовавшіе въ сей странѣ прежде Агрона были потомки Лида, сына Аписова, отъ коего весь народъ, прежде называвшійся Меонянами, проименованъ Лидійскимъ. Отъ сихъ-то Царей, согласно съ прорицаніемъ, получили власть Ираклиды, происшедшіе отъ рабыни Іардановой и Иракла, и царствовали, чрезъ двадцать два мужескихъ поколѣнія, пять сотъ пять лѣтъ, пріемля власть сынъ отъ отца, до Кандавла, сына Мирсова.

VIII. Сей Кандавлъ страстно любилъ жену свою, и любя, почиталъ ее прекраснѣйшею всѣхъ. При таковомъ своемъ мнѣніи, однажды превознесъ онъ похвалами стань жены своей копьеносцу Гигу, сыну Даскилову, къ коему имѣлъ столь великое довѣріе, что возлагалъ на него самыя важнѣйшія дѣла. По прошествіи нѣкотораго времени, (ибо Кандавлу было суждено быть несчастнымъ), онъ сказалъ Гигу: „Гигъ! кажется, ты не вѣришь моимъ

δοκέω πείθεσθαί μοι λέγοντι περὶ τῦ εἴδεος τῆς „γυναικὸς· (ὦτα γὰρ τυγχάνει ἀνθρώποισι ἐόντα „ἀπισθίερα ὀφθαλμῶν) ποίεε ὄκως ἐκείνην θεή- „σεαι γυμνήν.“ Ὁ δὲ μέγα ἀμβώτας, ἔπε, „Δέσ- „ποτα, τίνα λέγεις λόγον ἀκ ὑγιέα, κελεύων με „δεῦπνοιναν τὴν ἐμὴν θεήσασθαι γυμνήν; ἅμα „δὲ κιθῶνι ἐκδυομένῃ συνεκδύεται καὶ τὴν αἰδὼ „γυνή. πάλαι δὲ τὰ καλὰ ἀνθρώποισι ἐξεύρηται, „ἐκ τῶν μανθάνειν δεῖ. ἐν τοῖσιν ἓν τόδε ἐστί, „σκοπέειν τινὰ τὰ ἑωυτῦ. ἐγὼ δὲ πείθομαι ἐκεί- „νην εἶναι πασέων γυναικῶν καλλίστην καὶ οἷο „δέσμαι μὴ δεῦσθαι ἀνέμων.“

9. Ὁ μὲν δὴ, λέγων τοιαῦτα, ἀπεμάχετο, ἀϊζωδέων μή τι οἱ ἐξ αὐτέων γενηται κακόν. ὁ δὲ ἀμείβετο τοῖσδε, „Θάρσει Γύγη καὶ μὴ Φο- „βεῦ μήτε ἐμὲ, ὡς σεο πειρώμενος λέγω λόγον „τόνδε· μήτε γυναῖκα τὴν ἐμὴν, μή τί τοι ἐξ „αὐτῆς γένηται βλάβος· ἀρχὴν γὰρ ἐγὼ μηχανή- „σομαι ἵνα, ὥστε μηδὲ μαθεῖν μιν ὀφθεῖσαν ὑπὸ „σεῦ. ἐγὼ γάρ σε ἐς τὸ οἴκημα ἐν τῷ κοιμώμε- „θα, ὄπισθε τῆς ἀνοιγομένης θύρης στήσω. μετὰ „δ' ἐμὲ ἐσελθόντα, παρέσται καὶ ἡ γυνὴ ἡ ἐμὴ „ἐς κοῖτον. κῖται δὲ ἀγχῦ τῆς ἐσόδυ θρόνος· „ἐπὶ τῦτον τῶν ἱματίων κατὰ ἓν ἕκαστον ἐκδύ- „νυσα θήσει· καὶ κατ' ἡσυχίην πολλὴν παρέξει „τοι θεήσασθαι. ἐπεὰν δὲ ἀπὸ τῦ θρόνυ στίχη

словамъ о станѣ жены моей; люди ушамъ не столько вѣряпъ, какъ глазамъ. Постарайся увидѣть ее нагою.“ „Государь! вскричалъ Гигъ; „какую странность говоришь ты! велишь мнѣ увидѣть Государыню мою нагою! Женщина, совлекая съ себя хитонъ, купно съ тѣмъ и стыда совлекается. Издревле изобрѣтены людьми правила честности, коимъ должно послѣдовать. Изъ нихъ одно гласитъ такъ: надобно осматривать себя самаго. Я увѣренъ, что она прекраснѣе всѣхъ женщинъ; и прошу тебя, не требовать отъ меня незаконнаго.“

IX. Сими словами отговаривался Гигъ, опасаясь худаго для себя отъ того послѣдствія. Но Царь опять сказалъ ему: „не сомнѣвайся, Гигъ, и не бойся ни меня, будто я сими словами искушаю тебя, ни жены моей, чтобы отъ нее сталась тебѣ бѣда какая. Я устрою дѣло сіе такъ, что она и не узнаетъ, какъ ты увидишь ее. Я поставлю тебя въ нашей спальнѣ за отворенною дверью. Послѣ него, какъ я войду въ нее, придетъ туда и жена моя. Близъ входа въ спальню стоятъ креслы; на нихъ она будетъ класть платье, снимая съ себя одно за другимъ, и тебѣ можно будетъ тогда высмотрѣть ее, со всею безопасностію. Когда же она отъ

„ἐπὶ τὴν εὐνὴν, κατὰ νῶτα τε αὐτῆς γένῃ, σοὶ „μελέτω τὸ ἐνθεῦτεν ὅκως μή σε ὄψεται ἰόντα „διὰ θυρέων.“

10. Ὁ μὲν δὴ, ὡς ἐκ ἠδύνατο διαφυγέειν, ἦν ἑτοῖμος. ὁ δὲ Καυδαύλης, ἐπεὶ ἐδόκεε ὥρη τῆς κοίτης εἶναι, ἤγαγε τὸν Γύγεα ἐς τὸ οἴκημα· καὶ μετὰ ταῦτα αὐτίκα παρῆν καὶ ἡ γυνή· ἐσελθοῦσαν δὲ καὶ τιθεῖσαν τὰ εἵματα ἐθηεῖτο ὁ Γύγης. ὡς δὲ κατὰ νῶτα ἐγένετο, ἰθέσης τῆς γυναικὸς ἐς τὴν κοίτην, ὑπεκδὺς ἐχώρεεν ἔξω. καὶ ἡ γυνὴ ἐποῤῥᾷ μιν ἐξιόντα. μαθοῦσα δὲ τὸ ποιηθὲν ἐκ τοῦ ἀνδρὸς, ὅτε ἀνέβωσεν αἰσχυνθεῖσα, ὅτε ἔδοξε μαθέειν, ἐν νόῳ ἔσχσα τίσεσθαι τὸν Καυδαύλεα. παρὰ γὰρ τοῖσι Λυδοῖσι, σχεδὸν δὲ καὶ παρὰ τοῖσι ἄλλοισι βαρβάροισι, καὶ ἄνδρα ὀφθῆναι γυμνὸν, ἐς αἰσχύνην μεγάλην φέρει.

11. Τότε μὲν δὴ ἔτως, ἐδὲν δηλώσασα, ἡσυχίην εἶχεν· ὡς δὲ ἡμέρη τάχιστα ἐγεγόνεε, τῶν οἰκετέων τοὺς μάλιστα ὤρα πιστοὺς ἐόντας ἑωυτῇ, ἑτοίμους ποιησαμένη, ἐκάλεε τὸν Γύγεα. ὁ δὲ, ἐδὲν δοκέων αὐτὴν τῶν πρηχθέντων ἐπίσασθαι, ἦλθε καλεόμενος. ἐώθεε γὰρ καὶ πρόσθεν, ὅκως βασίλεια καλέοι, φοιτᾶν. ὡς δὲ ὁ Γύγης ἀπί-

креслъ пойдетъ въ постель и ты будешь за ея спиною; то постарайся выттти изъ дверей такъ, чтобы она тебя не увидѣла.“

X. Гигъ, видя, что не можетъ миновать сего, готовъ былъ повиноваться. Кандавлъ, когда время ложиться спать, казалось, наступило, ввелъ Гига въ спальню; послѣ чего немедленно вошла и жена. Гигъ смотрѣлъ, какъ она вошла и клала платье и когда, идучи въ постель, оборотилась къ нему спиною, онъ, прокрадываясь, пошелъ вонъ; но жена его увидѣла. Не сомнѣваясь, что это сдѣлано ея мужемъ, со стыда ни вскрикнула, ни дала видъ, что знаетъ о томъ, вознамѣрясь отмстить Кандавлу. Ибо у Лидянъ и почти у всѣхъ другихъ варваровъ считается за великій стыдъ, даже мущину увидѣть нагимъ.

XI. Тогда, ничего не сказавъ, скрыла сей поступокъ въ тайнѣ; но коль скоро наступилъ день, немедленно собрала вѣрнѣйшихъ изъ своихъ служителей, готовыхъ ей повиноваться, и позвала къ себѣ Гига. Думая, что Царица ничего случившагося не знаетъ, онъ на зовъ ея пошелъ; ибо и прежде обыкновенно хаживалъ къ ней, коль скоро позоветъ. Когда Гигъ пришелъ, она сказала ему:

κετο, ἔλεγεν ἡ γυνὴ τάδε· „Νῦν τοι δυοῖν ὁδοῖν παρεσσόεων, Γύγη, δίδωμι αἵρεσιν, ὁκοτέρην βέ„λεαι τραπέσθαι. ἢ γὰρ Καυδαύλεα ἀποκτείνας, „ἐμέ τε καὶ τὴν βασιληΐην ἔχε τὴν Λυδῶν, ἢ „αὐτόν σε αὐτίκα ὧτω ἀποθνήσκειν δεῖ· ὡς ἂν „μὴ πάντα πειθόμενος Καυδαύλῃ, τῷ λοιπῷ ἰδῇς „τὰ μή σε δεῖ. ἀλλ' ἤτοι κεῖνόν γε τὸν ταῦτα „βουλεύσαντα δεῖ ἀπόλλυσθαι, ἢ σὲ τὸν ἐμὲ γυμ„νὴν θηησάμενον, καὶ ποιήσαντα ἃ νομίζόμενα." Ὁ δὲ Γύγης τέως μὲν ἀπεθώυμαζε τὰ λεγόμενα. μετὰ δὲ, ἱκέτευε μή μιν ἀναγκαίῃ ἐνδεῖν διακρῖναι τοιαύτην αἵρεσιν. ὄχων δὴ ἔπειθεν, ἀλλ' ὥρα ἀναγκαίην ἀληθέως προκειμένην, ἢ τὸν δεσπότεα ἀπολλῦναι, ἢ αὐτὸν ὑπ' ἄλλων ἀπόλλυσθαι. αἱρέεται αὐτὸς περιεῖναι. ἐπειρώτα δὴ λέγων τάδε· „Ἐπεί με ἀναγκάζεις δεσπότεα τὸν „ἐμὸν κτείνειν, οὐκ ἐθέλοντα, φέρε ἀκούσω τέῳ „καὶ τρόπῳ ἐπιχειρήσομεν αὐτῷ." Ἡ δὲ ὑπολα„βοῦσα ἔφη· „Ἐκ τοῦ αὐτοῦ μὲν χωρίου ἡ ὁρμὴ ἔσαι, „ὅθενπερ καὶ ἐκεῖνος ἐμὲ ἐπεδέξατο γυμνήν· „ὑπνωμένῳ δὲ ἡ ἐπιχείρησις ἔσαι."

12. Ὡς δὲ ἤρτυσαν τὴν ἐπιβουλήν, νυκτὸς γινομένης, (οὐ γὰρ μετίετο ὁ Γύγης, οὐδέ οἱ ἦν ἀπαλλαγὴ οὐδεμίη, ἀλλὰ ἔδεε ἢ αὐτὸν ἀπολωλέναι, ἢ Καυδαύλεα), εἵπετο ἐς τὸν θάλαμον τῇ

„изъ двухъ путей, тебѣ предлежащихъ, даю на выборъ, въ которой хочешь обратиться: или, убивъ Кандавла, владѣй мною и царствомъ Лидійскимъ, или должно тебѣ нынѣ же умереть, дабы, во всемъ повинуясь Кандавлу, впредь не смотрѣлъ ты на то, чего не должно тебѣ видѣть. Надобно погибнуть или тому, кто устроилъ сіе, или тебѣ, увидѣвшему меня нагою и исполнившему дѣло непозволительное.“ Гигъ сперьва изумился отъ сихъ словъ; потомъ просилъ, чтобъ она позволила ему подумать о таковомъ выборѣ. Однако не убѣдилъ ее, и видѣлъ по истинѣ предстоящую необходимость, или погубить Государя, или самому отъ другихъ погибнуть. Избираетъ то, чтобъ остаться въ живыхъ самому и вопрошаетъ ее: „Поелику ты принуждаешь меня убить Государя моего, противъ моей воли; то научи меня, какимъ образомъ сдѣлать это.“ Она сказала ему въ отвѣтъ: „въ томъ самомъ мѣстѣ должно напасть на него, гдѣ онъ показалъ тебѣ меня нагою, — когда онъ уснетъ.“

XII. Согласясь такимъ образомъ въ заговорѣ, съ наступленіемъ ночи, (ибо Гига не выпускали и ему никакъ не можно было уйти; но надлежало или самому погибнуть или

γυναικί. καὶ μιν ἐκείνη, ἐγχειρίδιον δόσα, καταχρύπτει ὑπὸ τὴν αὐτὴν θύρην. καὶ μετὰ ταῦτα, ἀναπαυομένῳ Καυδαύλεω, ὑπεισδύς τε καὶ ἀποκτείνας αὐτόν, ἔσχε καὶ τὴν γυναῖκα καὶ τὴν βασιληίην Γύγης· τῷ καὶ Ἀρχίλοχος ὁ Πάριος, κατὰ τὸν αὐτὸν χρόνον γενόμενος, ἐν ἰάμβῳ τριμέτρῳ ἐπεμνήσθη.

13. Ἔσχε δὲ τὴν βασιληίην, καὶ ἐκρατύνθη ἐκ τοῦ ἐν Δελφοῖσι χρηστηρίου. ὡς γὰρ δὴ οἱ Λυδοὶ δεινὸν ἐποιεῦντο τὸ Καυδαύλεω πάθος, καὶ ἐν ὅπλοισι ἦσαν, συνέβησαν ἐς τωὐτὸ οἵ τε τοῦ Γύγεω σασιῶται καὶ οἱ λοιποὶ Λυδοὶ, ἢν μὲν δὴ τὸ χρηστήριον ἀνέλῃ μιν βασιλέα εἶναι Λυδῶν, τόνδε βασιλεύειν· ἢν δὲ μὴ, ἀποδοῦναι ὀπίσω ἐς Ἡρακλείδας τὴν ἀρχήν. ἀνεῖλέ τε δὴ τὸ χρηστήριον, καὶ ἐβασίλευσεν ὅτω Γύγης. τοσόνδε μέντοι εἶπεν ἡ Πυθίη, ὡς Ἡρακλείδῃσι τίσις ἥξει ἐς τὸν πέμπτον ἀπόγονον Γύγεω. τοῦτο τοῦ ἔπεος Λυδοί τε καὶ οἱ βασιλέες αὐτῶν λόγον οὐδένα ἐποιεῦντο, πρὶν δὴ ἐπετελέσθη.

14. Τὴν μὲν δὴ τυραννίδα ὅτως ἔσχον οἱ Μερμνάδαι, τοὺς Ἡρακλείδας ἀπελόμενοι. Γύγης δὲ τυραννεύσας ἀπέπεμψεν ἀναθήματα ἐς Δελφοὺς οὐκ ὀλίγα· ἀλλ' ὅσα μὲν ἀργύρου ἀναθήματά ἐσιν οἱ πλεῖσα ἐν Δελφοῖσι· πάρεξ δὲ τοῦ ἀρ-

Кандавлу), пошелъ онъ за Царицею въ спальню; гдѣ она, давъ ему кинжалъ, скрыла его за тою же дверью; потомъ, когда Кандавлъ уснулъ, подкравшись къ нему и убивъ его, овладѣлъ и женою и Царствомъ его. О семъ Гигѣ и Архилохъ Парійскій, жившій въ одно съ нимъ время, упомянулъ въ трехмѣрномъ Ямбѣ.

XIII. Онъ получилъ царство и утвержденъ на немъ Дельфійскимъ прорицалищемъ; ибо, когда Лидяне, скорбя о пораженіи Кандавла, подняли оружіе: соглашенось между Гиговыми соумышленниками и прочими Лидянами, чтобы, если прорицалище изберетъ его Царемъ Лидійскимъ, царствовать ему; въ противномъ случаѣ, отдать царство обратно Ираклидамъ. Прорицалище избрало и онъ остался Царемъ. Однакожъ купно съ тѣмъ Пиѳія изрекла, что *мщеніе Ираклидовъ придетъ къ пятому потомку Гигову.* Сіе предсказаніе ни за что почитали какъ Лидяне такъ и цари ихъ, доколѣ оное не сбылося.

XIV. Симъ образомъ Мермнады завладѣли Лидійскимъ царствомъ, отнявъ оное у Ираклидовъ. Гигъ, воцарившись, послалъ къ Дельфійцамъ дары не малые. Серебряныхъ его вкладовъ находится у Дельфійцевъ весьма мно-

γύρε, χρυσὸν ἄπλετον ἀνέθηκεν, ἄλλον τε καὶ τῷ μάλισα μνήμην ἄξιον ἔχειν ἐσὶ, κρητῆρές οἱ ἀριθμὸν ἓξ χρύσεοι ἀναχέαται. ἐσᾶσι δὲ ἓτοι ἐν τῷ Κορινθίων θησαυρῷ, σαθμὸν ἔχοντες τριήκοντα τάλαντα· ἀληθέϊ δὲ λόγῳ χρεωμένῳ, ὐ Κορινθίων τῷ δημοσίᾳ ἐσὶν ὁ θησαυρὸς, ἀλλὰ Κυψέλᾳ τῷ Ἠετίωνος. ἓτος δὲ ὁ Γύγης, πρῶτος βαρβάρων τῶν ἡμεῖς ἴδμεν, ἐς Δελφοὺς ἀνέθηκεν ἀναθήματα, μετὰ Μίδην τὸν Γορδίεω, Φρυγίης βασιλῆα. ἀνέθηκε γὰρ δὴ καὶ Μίδης τὸν βασιλήϊον θρόνον, ἐς τὸν προκατίζων ἐδίκαζεν, ἐόντα ἀξιοθέητον. κεῖται δὲ ὁ θρόνος οὗτος ἔνθαπερ οἱ τοῦ Γύγεω κρητῆρες. ὁ δὲ χρυσὸς οὗτος καὶ ὁ ἄργυρος τὸν ὁ Γύγης ἀνέθηκεν, ὑπὸ Δελφῶν καλέεται Γυγάδας ἐπὶ τοῦ ἀναθέντος ἐπωνυμίην. Ἐξέβαλε μέν νυν στρατιὴν καὶ ἓτος, ἐπεί τε ἦρξεν, ἔς τε Μίλητον καὶ ἐς Σμύρνην, καὶ Κολοφῶνος τὸ ἄστυ εἶλεν. ἀλλ' ὐδὲν γὰρ μέγα ἔργον ἀπ' αὐτοῦ ἄλλο ἐγένετο, βασιλεύσαντος δυῶν δέοντα τεσσεράκοντα ἔτεα. τοῦτον μὲν παρήσομεν, τοσαῦτα ἐπιμνησθέντες.

15. Ἄρδυος δὲ τοῦ Γύγεω μετὰ Γύγην βασιλεύσαντος μνήμην ποιήσομαι. ἓτος δὲ Πριηνέας τε εἶλεν, ἐς Μίλητόν τε ἐσέβαλεν. ἐπὶ τούτου τε τυραννεύοντος Σαρδίων Κιμμέριοι ἐξ ἠθέων

го; но кромѣ серебра, несметное множество принесъ онъ золотыхъ вещей, изъ коихъ наипаче достойны примѣчанія златыя чаши, числомъ шесть. Онѣ хранятся въ сокровищницѣ Коринѳянъ и содержатъ въ себѣ вѣсу тридцать талантовъ. Если же сказать правду, сія сокровищница не гражданъ Коринѳскихъ, но Кипсела, сына Аэпіонова. Гигъ первый изъ варваровъ, намъ извѣстныхъ, посвятилъ Дельфійцамъ вклады, послѣ Мида, сына Гордіева, Царя Фригійскаго. И Мидъ принесъ въ даръ царскій престолъ, достойный видѣнія, на коемъ онъ, предсѣдя, производилъ судъ. Престолъ сей стоитъ тамъ же, гдѣ и чаши Гиговы. Злато и сребро, Гигомъ пожертвованное, *Дельфійцами называется Гигейскимъ* (Гигадасъ), по имени вкладчика. По пріобрѣтеніи царской власти, и онъ обратилъ оружіе на Милетъ и Смирну, и взялъ крѣпость Колофонъ. Впрочемъ, поелику въ тридцати-осьмилѣтнее его царствованіе другаго важнаго ничего не случилось; то мы, сказавъ о семъ, оставимъ его.

XV. Я упомяну объ *Ардисѣ*, сынѣ Гиговомъ, царствовавшемъ послѣ отца своего. Онъ покорилъ Пріинянъ и вторгнулся въ Милетъ. Во время царствованія его въ Сар-

ὑπὸ Σκυθέων τῶν Νομάδων ἐξαναστάντες, ἀπικέατο ἐς τὴν Ἀσίην, καὶ Σάρδις πλὴν τῆς ἀκροπόλιος εἷλον.

16. Ἄρδυος δὲ βασιλεύσαντος ἐνὸς δέοντα πεντήκοντα ἔτεα, ἐξεδέξατο Σαδυάττης ὁ Ἄρδυος, καὶ ἐβασίλευσεν ἔτεα δυώδεκα· Σαδυάττεω δὲ, Ἀλυάττης. οὗτος δὲ Κυαξάρῃ τε τῷ Δηϊόκεω ἀπογόνῳ ἐπολέμησε, καὶ Μήδοισι· Κιμμερίους τε ἐκ τῆς Ἀσίης ἐξήλασε· Σμύρνην τε τὴν ἀπὸ Κολοφῶνος κτισθεῖσαν εἷλεν, ἐς Κλαζομενάς τε ἐσέβαλεν· ἀπὸ μὲν νυν τούτων οὐκ ὡς ἤθελεν ἀπήλλαξεν, ἀλλὰ προσπταίσας μεγάλως. ἄλλα δὲ ἔργα ἀπεδέξατο ἐὼν ἐν τῇ ἀρχῇ ἀξιαπηγητότατα τάδε.

17. Ἐπολέμησε Μιλησίοισι, παραδεξάμενος τὸν πόλεμον παρὰ τοῦ πατρός. ἐπελαύνων γὰρ ἐπολιόρκεε τὴν Μίλητον τρόπῳ τοιῷδε· ὅκως μὲν εἴη ἐν τῇ γῇ καρπὸς ἀδρὸς, τηνικαῦτα ἐσέβαλλε τὴν στρατιήν. ἐστρατεύετο δὲ ὑπὸ συρίγγων τε καὶ πηκτίδων, καὶ αὐλοῦ γυναικηίου τε καὶ ἀνδρηίου. ὡς δὲ ἐς τὴν Μιλησίην ἀπίκοιτο, οἰκήματα μὲν τὰ ἐπὶ τῶν ἀγρῶν ἔτε κατέβαλλεν, ἔτε ἐνεπίμπρη, ἔτε θύρας ἀπέσπα, ἔα δὲ κατὰ χώρην ἑσάμεναι· ὁ δὲ τά τε δένδρεα καὶ τὸν καρπὸν τὸν ἐν τῇ γῇ ὅκως διαφθείρειεν, ἀπαλ-

дахъ, Киммеріяне, изгнанные изъ своихъ жилищь Скиѳами Номадами или пастырями, перешли въ Азію и взяли Сарды, кромѣ крѣпости.

XVI. Послѣ сорока-девяти-лѣтняго царствованія Ардиса, преемникомъ его былъ *Садіаттъ*, сынъ его, и царствовалъ двенадцать лѣтъ. Послѣ Садіаптта царствовалъ *Аліаттъ*. Сей Государь воевалъ съ Кіаксаромъ, внукомъ Дійока, и съ Мидянами; изгналъ Киммеріянъ изъ Азіи, взялъ Смирну, поселеніе Колофонянъ, и вторгся въ Клазомены, которыя оставилъ не такъ, какъ хотѣлъ, но претерпѣвъ великое пораженіе. Онъ въ царствованіе свое предпринималъ и другія дѣла, изъ коихъ достопримѣчательнѣйшія суть слѣдующія:

XVII. Воевалъ съ Милесіянами, наслѣдовавъ войну сію отъ отца. Производя набѣги, онъ раззорялъ Милетъ такимъ образомъ: когда земные плоды созрѣвали, онъ вводилъ въ сію страну войско, при звукѣ свирѣлей, люпней и женскихъ и мужескихъ дудокъ. Пришедши въ Милесію, жилищь, находящихся при поляхъ не разрушалъ, не сожигалъ и дверей изъ нихъ не выставлялъ, но оставлялъ оныя неприкосновенными; напротивъ, перепортивъ деревья и истребивъ зем-

λάσσετο ὀπίσω. τῆς γὰρ θαλάσσης οἱ Μιλήσιοι ἐπεκράτεον, ὥστε ἐπέδρης μὴ εἶναι ἔργον τῇ στρατιῇ. τὰς δὲ οἰκίας οὐ κατέβαλλεν ὁ Λυδὸς, τῶνδε εἵνεκα, ὅκως ἔχοιεν ἐνθεῦτεν ὁρμεώμενοι τὴν γῆν σπείρειν τε καὶ ἐργάζεσθαι οἱ Μιλήσιοι, αὐτὸς δὲ, ἐκείνων ἐργαζομένων, ἔχοι τι καὶ οἰνεσθαι ἐσβάλλων.

18. Ταῦτα ποιέων, ἐπολέμεε ἔτεα ἕνδεκα. ἐν τοῖσι τρώματα μεγάλα διφάσια Μιλησίων ἐγένετο, ἔν τε Λιμενηίῳ χώρης τῆς σφετέρης μαχεσαμένων, καὶ ἐν Μαιάνδρου πεδίῳ. τὰ μέν νυν ἕξ ἔτεα τῶν ἕνδεκα Σαδυάττης ὁ Ἄρδυος ἔτι Λυδῶν ἦρχε, ὁ καὶ ἐσβάλλων τηνικαῦτα ἐς τὴν Μιλησίην τὴν στρατιήν· (Σαδυάττης γὰρ ἦτος καὶ ὁ τὸν πόλεμον ἦν συνάψας·) τὰ δὲ πέντε τῶν ἐτέων τὰ ἐπόμενα τοῖσιν ἕξ Ἀλυάττης ὁ Σαδυάττεω ἐπολέμεε, ὃς παραδεξάμενος (ὡς καὶ πρότερόν μοι δεδήλωται) παρὰ τοῦ πατρὸς τὸν πόλεμον, προσῆιχε ἐντεταμένως. τοῖσι δὲ Μιλησίοισι ξὸν δαμοὶ Ἰώνων τὸν πόλεμον τοῦτον συνεπελάφρυνον, ὅτι μὴ Χῖοι μοῦνοι. ἦτοι δὲ τὸ ὁμοῖον ἀνταποδιδόντες ἐτιμώρεον· καὶ γὰρ δὴ πρότερον οἱ Μιλήσιοι τοῖσι Χίοισι τὸν πρὸς Ἐρυθραίους πόλεμον συνδιήνεικαν.

ные плоды, возвращался назадъ. Поелику Милисіяне обладали моремъ; то не для чего было осаждать городъ войскомъ. Сей Лидійскій Государь не разрушалъ жилищъ для того, чтобъ Милисіяне могли, живучи въ нихъ, засѣвать и воздѣлывать свои нивы; а ему, въ нашествіе на нихъ, было бы что испреблять.

XVIII. Такимъ образомъ велъ онъ войну двенадцать лѣтъ, въ продолженіи коихъ Милисіяне двукратно претерпѣли великія пораженія: одно на границѣ страны своей; другое на полѣ, орошаемомъ Меандромъ. Изъ сихъ одиннадцати лѣтъ первые шесть лѣтъ надъ Лидянами царствовалъ еще Садіаттъ, сынъ Ардисовъ, который въ то время дѣлалъ съ войскомъ своимъ набѣги на Милисію: (ибо Садіаттъ устроилъ и войну сію); слѣдующія же за тѣмъ пять лѣтъ воевалъ Аліаттъ, сынъ Садіаттовъ, который, наслѣдовавъ, какъ и прежде мною сказано, войну отъ отца, продолжалъ оную ныпѣшнѣе. Въ сей войнѣ ни одинъ изъ Іонійскихъ народовъ не помогалъ Милисіянамъ, кромѣ Хіянъ, кои тѣмъ воздали имъ должное: ибо и Милисіяне помогали Хіянамъ на войнѣ противъ Эриѳреянъ.

19. Τῷ δὲ δυωδεκάτῳ ἔτει λήϊϐ ἐμπιπραμένϐ ὑπὸ τῆς στρατιῆς, συνηνείχθη τι τοιόνδε γενέσθαι πρῆγμα· ὡς ἄφθη τάχιστα τὸ λήϊον ἀνέμῳ βιώμενον, ἅψατο νηῒ Ἀθηναίης, ἐπίκλησιν Ἀσσησίης, ἀφθεὶς δὲ ὁ νηός, κατεκαύθη. καὶ τοπαραυτίκα μὲν λόγος ὐδεὶς ἐγένετο· μετὰ δὲ, τῆς στρατιῆς ἀπικομένης ἐς Σάρδις, ἐνόσησεν ὁ Ἀλυάττης. μακροτέρης δέ οἱ γενομένης τῆς νούσου, πέμπει ἐς Δελφοὺς θεοπρόπους, εἴτε δὴ συμβουλεύσαντός τευ, εἴτε καὶ αὐτῷ ἔδοξε πέμψαντα τὸν θεὸν ἐπείρεσθαι περὶ τῆς νούσου. τοῖσι δὲ ἡ Πυθίη ἀπικομένοισι ἐς Δελφοὺς οὐκ ἔφη χρήσειν, πρὶν ἢ τὸν νηὸν τῆς Ἀθηναίης ἀνορθώσωσι, τὸν ἐνέπρησαν χώρης τῆς Μιλησίης ἐν Ἀσσησῷ.

20. Δελφῶν οἶδα ἐγὼ ὅτω ἀκούσας γενέσθαι· Μιλήσιοι δὲ τάδε προστιθεῖσι τούτοισι, Περίανδρον τὸν Κυψέλου, ἐόντα Θρασυβούλῳ τῷ τότε Μιλήτου τυραννεύοντι ξεῖνον ἐς τὰ μάλιστα, πυθόμενον τὸ χρηστήριον τὸ τῷ Ἀλυάττῃ γενόμενον, πέμψαντα ἄγγελον κατειπεῖν, ὅκως ἄν

XIX. Въ двенадцатомъ году, когда войско зажгло ниву, случилось необыкновенное происшествіе. Коль скоро загорѣлся на нивѣ хлѣбъ, пламя, раздуваемое вѣтромъ, коснулось храма Аѳины, проименованной Асисійскою; и храмъ, на семъ пожарѣ, сгорѣлъ. Въ то время дѣло сіе казалось ничего не значущимъ; но послѣ, когда войско возвратилось въ Сарды, Аліаттъ занемогъ; и какъ болѣзнь болѣе и болѣе усиливалась, то онъ послалъ къ Дельфійцамъ вопросить прорицалище о средствахъ исцѣленія, по совѣту ли другихъ, или побужденный къ тому собственнымъ желаніемъ. По прибытіи посланныхъ къ Дельфійцамъ, Пиѳія отреклася дать имъ отвѣтъ, доколѣ не возстановятъ храма Аѳины, сожженаго въ Ассисѣ въ странѣ Милисійской.

XX. О семъ происшествіи слышалъ я отъ Дельфійцевъ; но Милисіяне къ сему присовокупляютъ, что Періандръ, сынъ Кипсела, узнавъ объ отвѣтѣ, сказанномъ Пиѳіею Аліаттu, къ Ѳрасивулу, бывшему тогда Царемъ въ Милетѣ, съ коимъ онъ связанъ былъ тѣсною дружбою и гостепріимствомъ, послалъ сказать, дабы онъ, предузнавъ о семъ, предпринялъ что либо, приличное наспоя-

τι προειδὼς πρὸς τὸ παρεὸν βυλεύηται. Μιλήσιοι μέν νυν ἔτω λέγυσι γενέσθαι.

21. Ἀλυάττης δέ, ὡς οἱ ταῦτα ἐξηγγέλθη, αὐτίκα ἔπεμπε κήρυκα ἐς Μίλητον, βυλόμενος σπονδὰς ποήσασθαι Θρασυβύλῳ τε καὶ Μιλησίοισι χρόνον ὅσον ἂν τὸν νηὸν οἰκοδομῇ. ὁ μὲν δὴ ἀπόσολος ἐς τὴν Μίλητον ἦν· Θρασύβυλος δὲ σαφέως προπεπυσμένος πάντα λόγον, καὶ ειδὼς τὰ Ἀλυάττης μέλλοι ποιήσειν, μηχανᾶται τοιάδε· ὅσος ἦν ἐν τῷ ἄστει σῖτος καὶ ἑωυτῷ καὶ ἰδιωτικὸς, τοῦτον πάντα συγχομίσας ἐς τὴν ἀγορὴν, προεῖπε Μιλησίοισι, ἐπεὰν αὐτὸς σημήνῃ, τότε πίνειν τε πάντας καὶ κώμῳ χρέεσθαι ἐς ἀλλήλυς.

22. Ταῦτα δὲ ἐποίεέ τε καὶ προηγόρευε Θρασύβυλος, τῶνδε εἵνεκεν, ὅκως ἂν δὴ ὁ κήρυξ ὁ Σαρδιηνὸς, ἰδὼν τε σωρὸν μέγαν σίτυ κεχυμένον, καὶ τυὺς ἀνθρώπυς ἐν εὐπαθείῃσι ἐόντας, ἀγγείλῃ Ἀλυάττῃ. τὰ δὴ καὶ ἐγένετο. ὡς γὰρ δὴ ἰδὼν τε ἐκεῖνα ὁ κήρυξ, καὶ εἴπας πρὸς Θρασύβυλον τὰς ἐντολὰς τοῦ Λυδοῦ, ἀπῆλθεν ἐς τὰς Σάρδις, ὡς ἐγὼ πυνθάνομαι, δι' οὐδὲν ἄλλο ἐγένετο ἢ διαλλαγή. ἐλπίζων γὰρ ὁ Ἀλυάττης σιτοδηίην τε εἶναι ἰσχυρὴν ἐν τῇ Μιλήτῳ,

щимъ обстоятельствамъ. Такъ Милисіяне разсказываютъ сіе событіе.

XXI. Аліаттъ, коль скоро о томъ извѣстился, немедленно послалъ въ Милетъ глашатая, желая съ Ѳрасивуломъ и Милисіянами заключить перемиріе на все то время, пока будетъ строиться храмъ. Посланный прибылъ въ Милетъ; Ѳрасивулъ, предувѣдомленный обо всемъ обстоятельно и зная, чего хочетъ Аліаттъ, придумалъ слѣдующую хитрость: всѣ жизненные припасы, свои и принадлежащіе частнымъ людямъ, велѣлъ снести на торжище и приказалъ Милисіянамъ, коль скоро дастъ онъ знакъ, всѣмъ пить и потчивать другъ друга.

XXII. Сіе сдѣлалъ и повелѣлъ Ѳрасивулъ для того, чтобъ Сардійскій посланный, увидѣвъ великую кучу припасовъ и гражданъ, предающихся пиршеству, извѣстилъ о томъ Аліатта; что и сбылося. Глашатай, увидѣвъ сіе, по объявленіи Ѳрасивулу предложеній Лидійскаго Царя, возвратился въ Сарды; не по иной какой, я думаю, причинѣ заключенъ миръ. Ибо Аліаттъ, который до того времени думалъ, что въ Милетѣ сильный голодъ и народъ доведенъ до самой крайности, услышалъ опъ возвратившагося изъ Милета извѣ-

καὶ τὸν λεὼν τετρύσθαι ἐς τὸ ἔσχατον κακοῦ, ἥκεε τῷ κήρυκος νοσήσαντος ἐκ τῆς Μιλήτου τοὺς ἐναντίους λόγους ἢ ὡς αὐτὸς κατεδόκεε. μετὰ δέ, ἥ τε διαλλαγὴ σφι ἐγένετο, ἐπ' ᾧ τε ξείνους ἀλλήλοισι εἶναι καὶ ξυμμάχους· καὶ δύο τε ἀντὶ ἑνὸς νηοὺς τῇ Ἀθηναίῃ ᾠκοδόμησεν ὁ Ἀλυάττης ἐν τῇ Ἀσσησῷ, αὐτός τε ἐκ τῆς νούσου ἀνέση. καὶ τὰ μὲν κατὰ τὸν πρὸς Μιλησίους τε καὶ Θρασύβουλον πόλεμον Ἀλυάττῃ ὧδε ἔσχε.

23. Περίανδρος δὲ ἦν Κυψέλου παῖς, οὗτος ὁ τῷ Θρασυβούλῳ τὸ χρηστήριον μηνύσας. ἐτυράννευε δὲ ὁ Περίανδρος Κορίνθου· τῷ δὴ λέγουσι Κορίνθιοι (ὁμολογέουσι δὲ σφι Λέσβιοι) ἐν τῷ βίῳ θῶυμα μέγιστον παρασχῆναι. Ἀρίονα τὸν Μηθυμναῖον ἐπὶ δελφῖνος ἐξενειχθέντα ἐπὶ Ταίναρον, ἐόντα κιθαρῳδὸν τῶν τότε ἐόντων οὐδενὸς δεύτερον, καὶ διθύραμβον, πρῶτον ἀνθρώπων τῶν ἡμεῖς ἴδμεν, ποιήσαντά τε καὶ ὀνομάσαντα καὶ διδάξαντα ἐν Κορίνθῳ.

24. Τοῦτον τὸν Ἀρίονα λέγουσι, τὸν πολλὸν τοῦ χρόνου διατρίβοντα παρὰ Περιάνδρῳ, ἐπιθυμῆσαι πλῶσαι ἐς Ἰταλίην τε καὶ Σικελίην· ἐργασάμενον δὲ χρήματα μεγάλα, θελῆσαι ὀπίσω ἐς Κόρινθον ἀπικέσθαι. ὁρμᾶσθαι μέν νυν ἐκ Τάραντος, πιστεύοντα δὲ οὐδαμοῖσι μᾶλλον ἢ Κορινθίοισι, μισθώσασθαι πλοῖον ἀνδρῶν Κορινθίων.

стіе, тому противное. Миръ заключенъ на томъ условіи, чтобы имъ оказывать взаимное гостепріимство и вспоможеніе на войнѣ. Аліаттъ, вмѣсто одного, соорудилъ Аѳинѣ два храма въ Ассисѣ, и отъ болѣзни исцѣлился. Таково было послѣдствіе войны Аліатта съ Милисіянами и Ѳрасивуломъ.

XXIII. Періандръ, сынъ Кипсела, который извѣстилъ Ѳрасивула объ оттвѣтѣ прорицалища, былъ Царемъ въ Коринѳѣ. Коринѳяне и согласно съ ними Лесвійцы говорятъ, что въ его время случилось величайшее чудо: Аріонъ Миѳимнянинъ на спинѣ Дельфина перенесенъ къ Тенару. Никто изъ его современниковъ не могъ превосходить его въ игрѣ на киѳарѣ; онъ также, первый, сколько намъ извѣстно, изобрѣлъ, наименовалъ и пѣлъ Диѳирамвъ въ Коринѳѣ.

XXIV. Сей Аріонъ, сказываютъ, пробывъ много времени при Періандрѣ, пожелалъ отплыть въ Италію и Сицилію; гдѣ, стяжавъ великое богатство, захотѣлъ возвратиться въ Коринѳъ; почему, отправясь изъ Таранта, нанялъ корабль у Коринѳянъ, никому болѣе не довѣряя, какъ имъ; но они, отплывши отъ берега подалѣе, сдѣлали заговоръ, завладѣть имуществомъ Аріона, бросивъ его въ море.

τοὺς δὲ ἐν τῷ πελάγει ἐπιβουλεύειν, τὸν Ἀρίονα ἐκβαλόντας, ἔχειν τὰ χρήματα. τὸν δὲ, συνέντα τοῦτο, λίσσεσθαι, χρήματα μὲν προϊέντά σφι, ψυχὴν δὲ παραιτεόμενον. ἔχων δὴ πείθειν αὐτὸν τούτοισι· ἀλλὰ κελεύειν τοὺς πορθμέας ἢ αὐτὸν διαχρᾶσθαί μιν, ὡς ἂν ταφῆς ἐν γῇ τύχῃ, ἢ ἐκπηδᾷν ἐς τὴν θάλασσαν τὴν ταχίστην. ἀπειλημένον δὲ τὸν Ἀρίονα ἐς ἀπορίην, παραιτήσασθαι, ἐπειδή σφι ἕτω δοκέοι, περιϊδεῖν αὐτὸν ἐν τῇ σκευῇ πάσῃ στάντα ἐν τοῖσι ἑδωλίοισι, ἀεῖσαι· ἀείσας δὲ, ὑπεδέκετο ἑωυτὸν κατεργάσασθαι. καὶ τοῖσι ἐξελθεῖν γὰρ ἡδονὴν, εἰ μέλλοιεν ἀκούσεσθαι τοῦ ἀρίστου ἀνθρώπων ἀοιδοῦ, ἀναχωρῆσαι ἐκ τῆς πρύμνης ἐς μέσην νέα. τὸν δὲ, ἐνδύντα τε πᾶσαν τὴν σκευὴν, καὶ λαβόντα τὴν κιθάρην, στάντα ἐν τοῖσι ἑδωλίοισι, διεξελθεῖν νόμον τὸν ὄρθιον· τελευτῶντος δὲ τοῦ νόμου, ῥῖψαι μιν ἐς τὴν θάλασσαν ἑωυτὸν, ὡς εἶχε, σὺν τῇ σκευῇ πάσῃ. καὶ τοὺς μὲν ἀποπλέειν ἐς Κόρινθον· τὸν δὲ, δελφῖνα λέγουσι ὑπολαβόντα ἐξενεῖκαι ἐπὶ Ταίναρον. ἀποβάντα δὲ αὐτὸν χωρέειν ἐς Κόρινθον σὺν τῇ σκευῇ, καὶ ἀπικόμενον ἀπηγέεσθαι πᾶν τὸ γεγονός. Περίανδρον δὲ

Аріонъ, узнавъ о семъ, прибѣгнулъ къ просьбамъ; предлагалъ имъ все богатство свое, только пощадили бы жизнь его. Просьбами корабельщики не убѣдились; они требовали, чтобъ Аріонъ или самъ себя умертвилъ, если хочетъ быть погребеннымъ въ землѣ, или немедленно бросился бы въ море. Приведенный въ недоумѣніе Аріонъ просилъ, поелику имъ такъ угодно, позволить ему выйти во всемъ нарядѣ на палубу корабля и пропѣть пѣсню; послѣ чего, обѣщалъ наложить на себя руку. Корабельщикамъ пришла охота послушать превосходнѣйшаго пѣвца; они съ кормы пошли на средину корабля. Аріонъ, надѣвъ на себя всѣ свои наряды, взявъ кивару и ставши на палубѣ, запѣлъ подъ звукъ кивары пѣснь: *Орѳіонъ*, и, окончивъ ее, бросился въ море со всѣмъ своимъ нарядомъ. Послѣ того, корабль отправился въ Коринѳъ; Аріона же Дельфинъ, какъ сказываютъ, взявъ на себя, принесъ въ рѣку Тенаръ. Аріонъ, вышедши на берегъ, пошелъ въ Коринѳъ во всемъ своемъ нарядѣ и разсказалъ все, съ нимъ случившееся. Періандръ, не вѣря тому, заключилъ его въ темницу, чтобы никуда не ушелъ, и нетерпѣливо дожидался корабельщиковъ. Коль скоро они прибыли въ Коринѳъ,

ὑπὸ ἀπιστίης Ἀρίονα μὲν ἐν Φυλακῇ ἔχειν, οὐδαμῇ μετιέντα, ἀναχῶς δὲ ἔχειν τῶν προθυμέων· ὡς δὲ ἄρα παρεῖναι αὐτούς, κληθέντας ἰσορέεσθαι εἴ τι λέγοιεν περὶ Ἀρίονος. Φαμένων δὲ ἐκείνων ὡς εἴη τε σῶς περὶ Ἰταλίην, καί μιν εὖ πρήσσοντα λίποιεν ἐν Τάραντι, ἐπιφανῆναί σφι τὸν Ἀρίονα, ὥσπερ ἔχων ἐξεπήδησε· καὶ τοὺς, ἐκπλαγέντας, οὐκ ἔχειν ἔτι ἐλεγχομένους ἀρνέεσθαι. Ταῦτα μέν νυν Κορίνθιοί τε καὶ Λέσβιοι λέγουσι. καὶ Ἀρίονός ἐστι ἀνάθημα χάλκεον οὐ μέγα ἐπὶ Ταινάρῳ, ἐπὶ δελφῖνος ἐπεὼν ἄνθρωπος.

25. Ἀλυάττης δὲ ὁ Λυδὸς τὸν πρὸς Μιλησίους πόλεμον διενείκας, μετέπεμπε τελευτᾷ, βασιλεύσας ἔτεα ἑπτὰ καὶ πεντήκοντα. ἀνέθηκε δὲ ἐκφυγὼν τὴν νοῦσον, δεύτερος οὗτος τῆς οἰκίης ταύτης, ἐς Δελφοὺς κρητῆρά τε ἀργύρεον μέγαν, καὶ ὑποκρητηρίδιον σιδήρεον κολλητόν, θέης ἄξιον διὰ πάντων τῶν ἐν Δελφοῖσι ἀναθημάτων· Γλαύκου τοῦ Χίου ποίημα, ὃς μοῦνος δὴ πάντων ἀνθρώπων σιδήρου κόλλησιν ἐξεῦρε.

26. Τελευτήσαντος δὲ Ἀλυάττεω, ἐξεδέξατο τὴν βασιληίην Κροῖσος ὁ Ἀλυάττεω, ἐτέων ἐὼν ἡλικίην πέντε καὶ τριήκοντα· ὃς δὴ Ἑλλήνων

Періандръ позвалъ ихъ къ себѣ и спросилъ, не знаютъ ли они чего объ Аріонѣ. Когда же сказали они, что Аріонъ находится въ Италіи въ добромъ здоровьѣ и что они оставили его въ Таарантѣ въ совершенномъ благополучіи; вдругъ явился предъ ними Аріонъ въ томъ самомъ нарядѣ, въ которомъ бросился въ море. Изумленные и уличенные симъ корабельщики не могли уже отрицаться отъ своего преступленія. Такъ повѣствуютъ о семъ Коринѳяне и Лесвійцы. На Тенарѣ и нынѣ еще находится небольшое мѣдное изваяніе, пожертвованное Аріономъ, представляющее человѣка, сидящаго на Дельфинѣ.

XXV. Аліаттъ, и Царь Лидійскій, окончивъ съ Милисіянами войну, по пятидесятисемилѣтнемъ царствованіи скончался. Онъ вторый изъ сего дома, по выздоровленіи своемъ, посвятилъ Дельфійцамъ огромную серебренную чашу и подчашникъ желѣзный спаянный, изъ всѣхъ Дельфійскихъ вкладовъ достойнѣйшій вниманія; издѣліе Главка Хійскаго, который прежде всѣхъ изобрѣлъ искуство спаивать желѣзо.

XXVI. По смерти Аліатта, принялъ престолъ *Крезъ*, сынъ его, будучи придцатипяти лѣтъ отъ роду, и прежде всѣхъ напалъ

πρώτοισι ἐπεθήκατο Ἐφεσίοισι. ἔνθα δὴ οἱ Ἐφέσιοι πολιορκεόμενοι ὑπ' αὐτοῦ, ἀνέθεσαν τὴν πόλιν τῇ Ἀρτέμιδι, ἐξάψαντες ἐκ τοῦ νηοῦ σχοινίον ἐς τὸ τεῖχος. ἔστι δὲ μεταξὺ τῆς τε παλαιῆς πόλιος, ἣ τότε ἐπολιορκέετο, καὶ τοῦ νηοῦ, ἑπτὰ σάδιοι. πρώτοισι μὲν δὴ τούτοισι ἐπεχείρησε ὁ Κροῖσος· μετὰ δὲ, ἐν μέρει ἑκάστοισι Ἰώνων τε καὶ Αἰολέων, ἄλλοισι ἄλλας αἰτίας ἐπιφέρων, τῶν μὲν ἐδύνατο μέζονας παρευρίσκειν, μέζονα ἐπαιτιώμενος, τοῖσι δὲ αὐτέων καὶ φαῦλα ἐπιφέρων.

27. Ὡς δὲ ἄρα οἱ ἐν τῇ Ἀσίῃ Ἕλληνες κατεδράφατο ἐς Φόρου ἀπαγωγήν, τὸ ἐνθεῦτεν ἐπενόεε, νέας ποιησάμενος, ἐπιχειρέειν τοῖσι νησιώτῃσι. ἐόντων δέ οἱ πάντων ἑτοίμων ἐς τὴν ναυπηγίην, οἱ μὲν Βίαντα λέγουσι τὸν Πριηνέα ἀπικόμενον ἐς Σάρδις, οἱ δὲ Πιττακὸν τὸν Μιτυληναῖον, εἰρομένου Κροίσου εἴ τι εἴη νεώνερον περὶ τὴν Ἑλλάδα, εἰπόντα τάδε, καταπαῦσαι τὴν ναυπηγίην· „Ὦ βασιλεῦ, νησιῶται ἵππον συνωνέονται μυρίην, ἐς Σάρδις τε καὶ ἐπὶ σὲ ἔχοντες „ἐν νῷ στρατεύεσθαι.“ Κροῖσον δὲ, ἐλπίσαντα λέγειν ἐκεῖνον ἀληθέα, εἰπεῖν, „Αἴ γὰρ τοῦτο θεοὶ „ποιήσειαν ἐπὶ νόον νησιώτῃσι, ἐλθεῖν ἐπὶ Λυδῶν παῖδας σὺν ἵπποισι.“ Τὸν δὲ, ὑπολαβόντα

на Эллиновъ Эфесскихъ. Жители Эфеса, во время осады ихъ города, посвятили оный Артемидѣ, привязавъ вервь отъ храма ея къ стѣнѣ; между старымъ городомъ, который тогда былъ осаждаемъ, и храмомъ, разстояния было семь спадій. Это былъ первый походъ Креза. Потомъ воевалъ онъ попеременно противъ Іонянъ и Эолянъ, подъ разными предлогами: однихъ обвинялъ въ важныхъ противъ него проступкахъ, если могъ найти оные; другимъ вмѣнялъ вины самыя маловажныя.

XXVII. Принудивъ Эллиновъ, обитавшихъ въ Азіи, платить ему дань, вознамѣрился, построивъ корабли, обратиться на островитянъ. Когда же было все готово къ построенію кораблей, оставилъ свое предпріятіе, бывъ отклоненъ, одни говорятъ, Віантомъ Пріинейскимъ, пришедшимъ въ Сарды, другіе, Питтакомъ Митиленскимъ, который на вопросъ Креза, есть ли что новаго въ Элладѣ, отвѣчалъ: „Государь! островитяне набираютъ десять тысячь всадниковъ, имѣя намѣреніе итти на Сарды и на тебя.“ Крезъ, считая, что онъ говоритъ правду, сказалъ: О когда „бы боги внушили островитянамъ мысль, притти со всадниками на сыновъ Лидійскихъ!“ На сіе говорившій съ нимъ отвѣтствовалъ: „Государь! кажется мнѣ, тебѣ весьма жела-

φάναι, „Ὦ βάσιλεῦ, προθύμως μοι φαίνεαι εὔ-
ξασθαι νησιώτας ἱππευομένους λαβεῖν ἐν ἠπείρῳ,
„οἰκότα ἐλπίζων· νησιώτας δὲ τί δοκέεις εὔχε-
„σθαι ἄλλο, ἢ ἐπεί τε τάχιστα ἐπύθοντό σε μέλ-
„λοντα ἐπὶ σφίσι ναυπηγέεσθαι νέας, λαβεῖν
„ἀειρώμενοι Λυδοὺς ἐν θαλάσσῃ, ἵνα ὑπὲρ τῶν ἐν
„τῇ ἠπείρῳ οἰκημένων Ἑλλήνων τίσωνταί σε,
„τοὺς σὺ δεδωλώσας ἔχεις;“ Κάρτα τε ἡσθῆναι
Κροῖσον τῷ ἐπιλόγῳ· καὶ οἱ (προσφυέως γὰρ δό-
ξαι λέγειν) πειθόμενον, παύσασθαι τῆς ναυπη-
γίης. καὶ οὕτω τοῖσι τὰς νήσους οἰκημένοισι
Ἴωσι ξεινίην συνεθήκατο.

28. Χρόνῳ δὲ ἐπιγινομένῳ, καὶ κατεστραμμέ-
νων σχεδὸν πάντων τῶν ἐντὸς Ἅλυος ποταμοῦ
οἰκημένων· πλὴν γὰρ Κιλίκων καὶ Λυκίων, τοὺς
ἄλλους πάντας ὑπ' ἑωυτῷ εἶχε καταστρεψάμενος
ὁ Κροῖσος· εἰσὶ δὲ οἵδε. (Λυδοὶ), Φρύγες, Μυσοὶ.
Μαριανδυνοὶ, Χάλυβες, Παφλαγόνες, Θρῆκες, οἱ
Θυνοί τε καὶ Βιθυνοὶ, Κᾶρες, Ἴωνες, Δωριέες,
Αἰολέες, Πάμφυλοι·

29. Κατεστραμμένων δὲ τούτων, καὶ προσε-
πικτωμένῳ Κροίσῳ Λυδοῖσι, ἀπικνέονται ἐς Σάρ-
δις ἀκμαζόσας πλούτῳ ἄλλοι τε οἱ πάντες ἐκ
τῆς Ἑλλάδος σοφισταὶ, οἳ τοῦτον τὸν χρόνον
ἐτύγχανον ἐόντες, ὡς ἕκαστος αὐτέων ἀπικέοιτο·
καὶ δὴ καὶ Σόλων, ἀνὴρ Ἀθηναῖος, ὃς Ἀθη-
ναίοισι νόμους κελεύσασι ποιήσας, ἀπεδήμησε

тельно захватить на сушѣ конницу островитянъ; желаніе не странное. Но чего инаго, по мнѣнію твоему, хотятъ островитяне, услышавъ, что ты пропивъ нихъ сооружаешь корабли, если не того, чтобы Лидянъ захватить на морѣ и такимъ образомъ отмстить тебѣ за Эллиновъ, обитающихъ на сушѣ, коихъ ты держишь въ рабствѣ?“ Заключеніе сей рѣчи Крезу весьма понравилось; почему, убѣдясь благоразумнымъ симъ разсужденіемъ, онъ оставилъ намѣреніе строить корабли, и припомъ съ обитавшими на островахъ Іонянами заключилъ дружескій союзъ.

XXVIII. Въ послѣдствіи времени, Крезъ покорилъ почти всѣхъ народовъ, обитающихъ ~~на западъ отъ~~ рѣки Алія, кромѣ Киликіянъ и Ликіянъ. Они суть Лидяне, Фригійцы, Мисяне, Маріандины, Халивы, Пафлагоняне, Θракійцы какъ Θинскіе такъ Виθинскіе, Карійцы, Іоняне, Дорійцы, Эоляне, и Памфиляне.

XXIX. Когда покоренные Крезомъ народы присоединены были къ Лидіи, въ городъ Сарды, процвѣтавшій богатствомъ, пришли изъ Эллады всѣ мудрецы тогдашняго времени, каждый по своему побужденію. Въ числѣ ихъ былъ и *Солонъ* Аθинянинъ, который, написавъ Аθинянамъ, по ихъ требованію, законы, странствовалъ десять лѣтъ, подъ предло-

ἔτεα δέκα, κατὰ θεωρίης πρόφασιν ἐκπλώσας, ἵνα δὴ μή τινα τῶν νόμων ἀναγκασθῇ λῦσαι τῶν ἔθετο. αὐτοὶ γὰρ οὐκ οἷοί τε ἦσαν αὐτὸ ποιῆσαι Ἀθηναῖοι· ὁρκίοισι γὰρ μεγάλοισι κατείχοντο, δέκα ἔτεα χρήσεσθαι νόμοισι τοὺς ἄν σφίσι Σόλων θῆται.

30. Αὐτῶν δὴ ὧν τούτων καὶ τῇ θεωρίης ἐκδημήσας ὁ Σόλων εἵνεκεν, ἐς Αἴγυπτον ἀπίκετο παρὰ Ἄμασιν, καὶ δὴ καὶ ἐς Σάρδις παρὰ Κροῖσον, ἀπικόμενος δέ, ἐξεινίζετο ἐν τοῖσι βασιλήοισι ὑπὸ τοῦ Κροίσου· μετὰ δὲ, ἡμέρῃ τρίτῃ ἢ τετάρτῃ, κελεύσαντος Κροίσου, τὸν Σόλωνα θεράποντες περιῆγον καιὰ τοὺς θησαυροὺς, καὶ ἐπεδείκνυσαν πάντα ἐόντα μεγάλα τε καὶ ὄλβια. θεησάμενον δέ μιν τὰ πάντα, καὶ σκεψάμενον ὡς οἱ κατὰ καιρὸν ἦν, εἴρετο ὁ Κροῖσος τάδε· »Ξεῖνε Ἀθηναῖε, παρ' ἡμέας γὰρ περὶ σέο λόγος »ἀπῖκται πολλὸς, καὶ σοφίης εἵνεκεν τῆς σῆς »καὶ πλάνης, ὡς φιλοσοφέων γῆν πολλὴν θεω»ρίης εἵνεκεν ἐπελήλυθας· νῦν ὦν ἵμερος ἐπείρε»σθαί μοι ἐπῆλθε σέ, εἴ τινα ἤδη πάντων εἶδες »ὀλβιώτατον;« Ὁ μὲν, ἐλπίζων εἶναι ἀνθρώπων ὀλβιώτατος, ταῦτα ἐπηρώτα· Σόλων δὲ, οὐδὲν ὑποθωπεύσας, ἀλλὰ τῷ ἐόντι χρησάμενος, λέγει,

гомъ желанія осмотрѣть чужія страны, дабы не быть принуждену перемѣнить который либо изъ законовъ, имъ изданныхъ. Сами они не въ правѣ были сдѣлать сіе; ибо строгою клятвою обязались, десять лѣтъ наблюдать законы, данные имъ Солономъ.

XXX. По сей-то причинѣ и для удовлетворенія своего любопытства, Солонъ, оставивъ отечество, отправился въ Египетъ къ Амазису, потомъ въ Сарды къ Крезу, коимъ помѣщенъ былъ въ царскіе чертоги. На третій или четвертый день по его прибытіи, слуги Креза, по его повелѣнію, водили Солона по сокровищницамъ и показывали ему все, что ни было у него великолѣпнѣйшаго и богатѣйшаго. По осмотрѣніи Солономъ всего и размышленіи о томъ, сколько время ему позволяло, Крезъ сказалъ ему слѣдующее: „Госпъ Аѳинскій! у насъ много говорятъ, какъ о твоей мудрости, такъ и о странствованіи, предпринятомъ тобою, изъ любомудрія, для обозрѣнія многихъ странъ. По сему, родилось во мнѣ желаніе узнать отъ тебя, видалъ ли ты кого всѣхъ блаженнѣйшимъ.“ Крезъ сдѣлалъ сей вопросъ, почитая себя блаженнѣйшимъ изъ людей. Солонъ, не умѣя ласкать, а только говорить истину: „о Государь! отвѣтствовалъ ему; видѣлъ я

»Ὦ βασιλεῦ, Τέλλον Ἀθηναῖον.« Ἀποθωϋμάσας δὲ Κροῖσος τὸ λεχθὲν, εἴρετο ἐπισρεφέως, »Κοίῃ »δὴ κρίνεις Τέλλον εἶναι ὀλβιώτατον;« Ὁ δε εἶπε· »Τέλλῳ, τοῦτο μὲν τῆς πόλιος εὖ ἠχούσης, »παῖδες ἦσαν καλοί τε καἀγαθοί. καὶ σφι εἶδε »ἅπασι τέκνα ἐκγενόμενα, καὶ πάντα παραιμεί»ναντα· τοῦτο δὲ τῷ βίῳ εὖ ἥκοντι, ὡς τὰ παρ' »ἡμῖν, τελευτὴ τῷ βίῳ λαμπροτάτη ἐπεγένετο· »γενομένης γὰρ Ἀθηναίοισι μάχης πρὸς τοὺς »ἀστυγείτονας ἐν Ἐλευσῖνι, βοηθήσας, καὶ τρο»πὴν ποιήσας τῶν πολεμίων, ἀπέθανε κάλλιστα. »καί μιν Ἀθηναῖοι δημοσίῃ τε ἔθαψαν αὐτοῦ »τῇπερ ἔπεσε, καὶ ἐτίμησαν μεγάλως.«

31. Ὡς δὲ τὰ κατὰ τὸν Τέλλον προετρέψατο ὁ Σόλων τὸν Κροῖσον, εἴπας πολλά τε καὶ ὄλβια, ἐπηρώτα τίνα δεύτερον μετ' ἐκεῖνον ἰδοι, δοκέων πάγχυ δευτερεῖα γῶν οἴσεσθαι. ὁ δὲ εἶπε, »Κλέοβίν τε καὶ Βίτωνα. τούτοισι γὰρ »ἐοῦσι γένος Ἀργείοισι βίος τε ἀρκέων ὑπῆν, »καὶ πρὸς τούτῳ, ῥώμη σώματος τοιήδε· ἀεθλοφό»ροι ὁμοίως ἔσαν, καὶ δὴ καὶ λέγεται ὅδε ὁ λό»γος· ἐούσης ὁρτῆς τῇ Ἥρῃ τοῖσι Ἀργείοισι, ἔδεε

таковымъ Телла Аѳинянина.“ Крезъ, удивившись сему отвѣту, съ нетерпѣніемъ спросилъ: „почему почитаешь Телла всѣхъ блаженнѣйшимъ? „Солонъ отвѣтствовалъ: „Теллъ жилъ въ цвѣтущее время Аѳинъ. У него были прекрасные и благонравные дѣти; отъ нихъ видѣлъ онъ внуковъ, кои всѣ остались живы. Насладясь благотечною жизнію, сколько по отъ насъ зависитъ, онъ окончилъ ее блистательнѣйшею смертію. Оказавъ храбрость на битвѣ, происходившей между Аѳинянами и сосѣдними имъ Элевсинцами, и обративъ непріятелей въ бѣгство, онъ умеръ со славою. Аѳиняне торжественно погребли его на томъ самомъ мѣстѣ, гдѣ онъ палъ, и почтили великолѣпнѣйшими почестями.“

XXXI. Когда Солонъ, изложивъ подробно блаженство Телла, сдѣлалъ тѣмъ Крезу наставленіе; сей спросилъ его: кого видѣлъ онъ вторымъ по Теллѣ, думая; что, по крайней мѣрѣ, дано будетъ ему второе мѣсто. „Клеовиса и Битона, отвѣчалъ Солонъ. Они, бывъ родомъ Аргивяне, жили въ достаткѣ и при томъ имѣли такую крѣпость тѣла, что оба получали награды на общенародныхъ играхъ. Объ нихъ разсказываютъ также слѣдующее. Когда въ Аргосѣ происходило празднество Иры, матери ихъ надлежало ѣхать

»πάντως τὴν μητέρα αὐτῶν ζεύγει κομισθῆναι
»ἐς τὸ ἱρόν· οἱ δέ σφι βόες ἐκ τοῦ ἀγροῦ ἐπαρε-
»γίνοντο ἐν ὥρῃ· ἐκκλῃϊόμενοι δὲ τῇ ὥρῃ οἱ νεη-
»νέαι, ὑποδύντες αὐτοὶ ὑπὸ τὴν ζεύγλην, εἷλκον
»τὴν ἅμαξαν. ἐπὶ τῆς ἁμάξης δέ σφι ὀχίετο ἡ
»μήτηρ. σταδίους δὲ πέντε καὶ τεσσεράκοντα δια-
»κομίσαντες, ἀπίκοντο ἐς τὸ ἱρόν. ταῦτα δέ σφι
»ποιήσασι, καὶ ὀφθεῖσι ὑπὸ τῆς πανηγύριος, τε-
»λευτὴ τοῦ βίου ἀρίστη ἐπεγένετο. διέδεξέ τε ἐν τού-
»τοισι ὁ θεὸς, ὡς ἄμεινον εἴη ἀνθρώπῳ τεθνά-
»ναι μᾶλλον ἢ ζώειν. Ἀργεῖοι μὲν γὰρ περιστά-
»τες ἐμακάριζον τῶν νεηνιέων τὴν ῥώμην· αἱ δὲ
»Ἀργεῖαι, τὴν μητέρα αὐτῶν, οἷον τέχνων ἐχύ-
»ρησε. ἡ δὲ μήτηρ περιχαρὴς ἐοῦσα τῷ τε ἔργῳ
»καὶ τῇ Φήμῃ, στᾶσα ἀντίον τοῦ ἀγάλματος, εὔ-
»χετο, Κλέοβί τε καὶ Βίτωνι, τοῖσι ἑωυτῆς τέκ-
»νοισι, οἵ μιν ἐτίμησαν μεγάλως, δοῦναι τὴν
»θεὸν τὸ ἀνθρώπῳ τυχεῖν ἄριστόν ἐστι. μετὰ τοῦ-
»την δὲ τὴν εὐχὴν, ὡς ἔθυσάν τε καὶ εὐωχήθη-
»σαν, καταχοιμηθέντες ἐν αὐτῷ τῷ ἱρῷ οἱ νεη-
»νίαι, οὐκέτι ἀνέστησαν, ἀλλ' ἐν τέλει τούτῳ ἔσ-
»χοντο. Ἀργεῖοι δέ σφεων εἰκόνας ποιησάμενοι,
»ἀνέθεσαν ἐς Δελφοὺς, ὡς ἀνδρῶν ἀρίστων γενο-
»μένων.«

32. Σόλων μὲν δὴ εὐδαιμονίης δευτερεῖα
ἔνεμε τούτοισι. Κροῖσος δὲ σπερχθεὶς, εἶπε, »Ὦ

въ храмъ непремѣнно на парѣ воловъ; но волы съ поля къ тому времени не прибыли. Посему юноши, понуждаемые временемъ, запряглись сами въ яремъ и повлекли колесницу, на коей мать ихъ ѣхала, и, везя ее чрезъ сорокъ пять спадій, прибыли въ храмъ. Обративъ симъ поступкомъ на себя взоры всего собранія, они улучили превосходную кончину жизни: на нихъ явилъ Богъ, что людямъ лучше умереть, нежели жить. Аргивяне, окруживъ ихъ, удивлялись силѣ юношей; а Аргивянки называли мать ихъ счастливою, что имѣетъ таковыхъ сыновъ; мать, восхищаясь поступкомъ дѣтей своихъ и похвалами зрителей, спала предъ ваяніемъ богини, и просила дѣтямъ ея Клеовису и Витону, столь много почтившимъ ее, дароватъ, что человѣку можно стяжать наилучшаго. Послѣ сей молитвы, юноши, принесши жертву и совершивъ пиршество, уснули въ самомъ храмѣ, и болѣе уже не вставали, окончивъ такимъ образомъ жизнь свою. Аргивяне, сняли съ нихъ изображенія, посвятили оныя Дельфійцамъ, какъ лики людей добродѣтельнѣйшихъ.“

XXXII. Такимъ образомъ Солонъ симъ двумъ юношамъ назначилъ второе мѣсто въ

»ξεῖνε Ἀθηναῖε, ἡ δὲ ἡμετέρη εὐδαιμονίη ἕτω »τοι ἀπέῤῥιπται ἐς τὸ μηδέν, ὥστε ἐδὲ ἰδιωτέων »ἀνδρῶν ἀξίους ἡμέας ἐποίησας;« Ὁ δὲ εἶπε· »Ὦ Κροῖσε, ἐπισάμενόν με τὸ θεῖον πᾶν ἐὸν φθο»νερόν τε καὶ ταραχῶδες. ἐπειρωτᾷς ἀνθρωπηίων πρηγμάτων πέρι; ἐν γὰρ τῷ μακρῷ χρόνῳ πολ»λὰ μὲν ἐστιν ἰδέειν τὰ μή τις ἐθέλει, πολλὰ δὲ »καὶ παθέειν. ἐς γὰρ ἑβδομήκοντα ἔτεα ὅρον τῆς »ζόης ἀνθρόπῳ προτίθημι. ἔνι ἐόντες ἐνιαυτοὶ »ἑβδομήκοντα. παρέχονται ἡμέρας διηκοσίας καὶ »δισμυρίας, ἐμβολίμου μηνὸς μὴ γενομένου. εἰ δὲ »δὴ ἐθελήσει τῦτερον τῶν ἑτέων μηνὶ μακρότερον »γίνεσθαι, ἵνα δὴ αἱ ὧραι συμβαίνωσι παραγι»νόμεναι ἐς τὸ δέον, μῆνες μὲν παρὰ τὰ ἑβδο»μήκοντα ἔτεα οἱ ἐμβόλιμοι γίνονται τριήκοντα »πέντε· ἡμέραι δὲ ἐκ τῶν μηνῶν τῦτων, χίλιαι »πεντήκοντα. τῦτέων τῶν ἁπασέων ἡμερέων τῶν ἐς τὰ ἑβδομήκοντα ἔτεα, ἐυσέων πεντήκοντα καὶ »διηκοσίων καὶ ἑξακισχιλιέων καὶ δισμυριέων, »ἡ ἑτέρη αὐτέων τῇ ἑτέρῃ ἡμέρῃ τοποράπαν ἐδὲν »ὁμοῖον προσάγει πρῆγμα. ἕτω ὦν, ὦ Κροῖσε, »πᾶν ἐστι ἄνθρωπος συμφορή. ἐμοὶ δὲ σὺ καὶ »πλῦτέειν μὲν μέγα φαίνεαι, καὶ βασιλεὺς εἶναι

благополучіи. Крезъ, недовольный имъ, вскричалъ: „и такъ ты, о спарпиятъ Аѳинскій, счастіе мое уважаешь столь мало, что даже съ частными людьми сравнишь меня не хочешь?“ „Почто, о Крезъ! отвѣчалъ ему Солонъ, вопрошаешь объ участи человѣческой меня, вѣдающаго, что Счастіе всегда ревниво и мятежно? Въ теченіи долговременнаго вѣка много должно увидѣть, чего не желаешь и много претерпѣть. Я предполагаю предѣлъ жизни человѣческой до семидесяти лѣтъ. Сіи семдесятъ лѣтъ составятъ изъ двадцати пяти тысячъ и двухъ сотъ дней, не включая вставнаго мѣсяца. Если же мы пожелаемъ одинъ годъ на два сдѣлать однимъ мѣсяцемъ долѣе, дабы годины привести въ надлежащія эпохи: то на семдесятъ лѣтъ получимъ вставныхъ мѣсяцовъ тридцать пять; а въ сихъ тридцати пяти мѣсяцахъ, тысячу пятьдесятъ дней. Изъ всѣхъ сихъ дней, коихъ въ семидесяти годахъ находится двадцать шесть тысячъ двѣсти пятьдесятъ, ни одинъ день не походитъ на день другой своими событіями. И такъ, о Крезъ! въ человѣкѣ все превратно. Ты представляешься моимъ очамъ и богатымъ и Царемъ великаго народа; но того, о чемъ вопрошаешь меня,

»πολλῶν ἀνθρώπων· ἐκεῖνο δὲ τὸ εἰρεό με, ἔχω »σε ἐγὼ λέγω, πρὶν ἂν τελευτήσαντα καλῶς τὸν »αἰῶνα πύθωμαι. ὁ γάρ τοι ὁ μέγα πλούσιος »μᾶλλον τῷ ἐπ' ἡμέρην ἔχοντος, ὀλβιώτερός ἐσι· »εἰ μή οἱ τύχη ἐπίσποιτο, πάντα καλὰ ἔχοντα »τελευτῆσαι εὖ τὸν βίον. πολλοὶ μὲν γὰρ ζά- »πλουτοι ἀνθρώπων, ἀνόλβιοί εἰσι· πολλοὶ δὲ με- »τρίως ἔχοντες βίου, εὐτυχέες· ὁ μὲν δὴ μέγα πλού- »σιος, ἀνόλβιος δὲ, δυοῖσι προέχει τῷ εὐτυχέος »μούνοισι· ἕτος δὲ, τῷ πλουσίῳ καὶ ἀνολβίῳ πολ- »λοῖσι. ὁ μὲν, ἐπιθυμίην ἐκτελέσαι, καὶ ἄτην με- »γάλην προσπεσοῦσαν ἐνεῖκαι δυνατώτερος· ὁ δὲ, »τοῖσι δὴ προέχει ἐκείνῳ· ἄτην μὲν καὶ ἐπιθυ- »μίην οὐκ ὁμοίως δυνατὸς ἐκείνῳ ἐνεῖκαι, ταῦτα »δὲ ἡ εὐτυχίη οἱ ἀπερύκει. ἄπηρος δέ ἐσι, ἄνυ- »σος, ἀπαθὴς κακῶν, εὔπαις, εὐειδής. εἰ δὲ πρὸς »τούτοισι ἔτι τελευτήσει τὸν βίον εὖ, οὗτος ἐκεῖ- »νος, τὸν σὺ ζητεῖς, ὄλβιος κεκλῆσθαι ἄξιός ἐσι. »πρὶν δ' ἂν τελευτήσῃ, ἐπισχέειν, μηδὲ καλέειν »κω ὄλβιον, ἀλλ' εὐτυχέα. τὰ πάντα μέν νυν »ταῦτα συλλαβεῖν ἄνθρωπον ἐόντα, ἀδύνατον· »ὥσπερ χώρη οὐδεμίη καταρκέει πάντα ἑωυτῇ

я не скажу о тебѣ, доколѣ не услышу, что ты благо совершилъ вѣкъ свой. Не блаженнѣе имѣющаго насущное пропитаніе бываетъ великій богачъ, если, при всѣхъ его благахъ, не удастся ему окончить жизнь свою хорошо. Многіе, самые богатѣйшіе изъ смертныхъ, не наслаждаются блаженствомъ; и напротивъ многіе, ведущіе жизнь умѣренную, бываютъ счастливы. Великій богачъ, не наслаждающійся блаженствомъ, превосходитъ счастливаго двумя выгодами; напротивъ сей имѣетъ много преимуществъ предъ богатымъ, но невкушающимъ блаженства. Первый скорѣе можетъ исполнять свои желанія и переноситъ великія страны; послѣдній хотя не можетъ, подобно первому, удовлетворять своихъ желаній и переноситъ потерей; однако самое счастіе ограждаетъ его отъ нихъ, въ чемъ онъ имѣетъ преимущество предъ богатымъ. Между тѣмъ, онъ наслаждается вполнѣ своими способностями, безболѣзненъ, непричастенъ бѣдствіямъ, радуется дѣтьми своими, благовиденъ. Если же сверхъ того, окончитъ благо и жизнь свою: то онъ достоинъ назваться тѣмъ блаженнымъ, о коемъ ты вопрошаешь. Но до кончины его, надобно удерживаться называть его блаженнымъ, а только счастливымъ. Человѣку невозможно соединить всѣхъ сихъ

»παρέχουσα, ἀλλὰ ἄλλο μὲν ἔχει. ἑτέρῳ δὲ ἐπιδέε»ται· ἥ δ' ἂν τὰ πλεῖσα ἔχῃ, ἀρίστη αὕτη. ὡς δὲ »καὶ ἀνθρώπῳ σῶμα ἓν οὐδὲν αὔταρκές ἐσι· τὸ »μὲν γὰρ ἔχει. ἄλλῳ δὲ ἐνδεές ἐσι. ὃς δ' ἂν αὐ»τέων πλεῖσα ἔχων διατελέῃ, καὶ ἔπειτα τελευ»τήσῃ εὐχαρίσως τὸν βίον, ἕτος παρ' ἐμοὶ τὸ »ὄνομα τοῦτο, ὦ βασιλεῦ, δίκαιός ἐσι Φέρεσθαι. »σκοπεῖν δὲ χρὴ παντὸς χρήματος τὴν τελευ»τὴν κῆ ἀποβήσεται. πολλοῖσι γὰρ δὴ ὑποδέξας »ὄλβον ὁ θεὸς, προέβιζε ἀνέτρεψε.«

33. Ταῦτα λέγων τῷ Κροίσῳ, οὕκως ὅτε λόγῳ μιν ποιησάμενος ὀδενὸς, ἀποπέμπεται· χάρτα δόξας ἀμαθὴς εἶναι, ὅς τὰ παρεόντα ἀγαθὰ μετεὶς, τὴν τελευτὴν παντὸς χρήματος ὁρᾶν ἐκέλευε.

34. Μετὰ δὲ Σόλωνα οἰχόμενον, ἔλαβε ἔχ θεῦ νέμεσις μεγάλη Κροῖσον· ὡς εἰκάσαι, ὅτι ἐνόμισε ἑωϊτὸν εἶναι ἀνθρώπων ἁπάντων ὀλβιώτατον. αὐτίκα δέ οἱ εὕδοντι ἐπέστη ὄνειρος, ὅς οἱ τὴν ἀληθηίην ἔφαινε τῶν μελλόντων γενέ-

благъ; подобно какъ нѣтъ такой страны, которая доставляла бы все потребное; но одно имѣетъ она, а въ другомъ нуждается; которая имѣетъ наиболѣе потребнаго, та почитается и наилучшею. Равнымъ образомъ ни кто и изъ людей не имѣетъ всего, что ему надобно: одно имѣетъ, другаго не имѣетъ. Кто же изъ нихъ имѣетъ премногое въ продолженіе всей жизни и потомъ окончитъ оную спокойно: тотъ, по моему мнѣнію, доспойно можетъ быть названъ блаженнымъ. Во всякомъ случаѣ должно взирать на конецъ и послѣдствіе: ибо Богъ, многимъ прежде ниспославъ счастіе, послѣ вовсе ихъ раззоряетъ."

XXXIII. Крезъ не ~~никто не~~ возблагодарилъ Солону за сіе наставленіе, но и, нимало его не уваживъ, отослалъ отъ себя. Онъ счелъ его великимъ невѣжею за то, что совѣтовалъ, отложивъ въ сторону настоящее благополучіе, взирать на конецъ всякой вещи.

XXXIV. По отбытіи Солона, Богъ хотѣлъ сильнымъ отмщеніемъ наказать Креза, какъ кажется, за то, что онъ почиталъ себя всѣхъ блаженнѣйшимъ. Вскорѣ послѣ сего во снѣ явилось ему привидѣніе, которое предсказало пагубную участь одного изъ его сы-

σθαι κακῶν κατὰ τὸν παῖδα. ἦσαν δὲ τῷ Κροίσῳ δύο παῖδες· τῶν ἕτερος μὲν διέφθαρτο· ἦν γὰρ δὴ κωφός· ὁ δὲ ἕτερος, τῶν ἡλίκων μακρῷ τὰ πάντα πρῶτος· ὄνομα δέ οἱ ἦν Ἄτυς τοῦτον δὴ ὦν τὸν Ἄτυν σημαίνει τῷ Κροίσῳ ὁ ὄνειρος. ὡς ἀπολέει μιν αἰχμῇ σιδηρέῃ βληθέντα, ὁ δ' ἐπεί τ' ἐξηγέρθη, καὶ ἐωϋτῷ λόγον ἔδωκε. καταϝῳδήσας τὸν ὄνειρον, ἄγεται μὲν τῷ παιδὶ γυναῖκα· ἐωθότα δὲ στρατηγέειν μιν τῶν Λυδῶν, ἐδαμῇ ἔτι ἐπὶ τοιοῦτο πρῆγμα ἐξέπεμπε· ἀκόντια δὲ καὶ δοράτια, καὶ τὰ τοιαῦτο πάντα τοῖσι χρέωνται ἐς πόλεμον ἄνθρωποι, ἐκ τῶν ἀνδρεώνων ἐκκομίσας, ἐς τοὺς θαλάμους συνέννησε, μή τί οἱ κρεμάμενον τῷ παιδὶ ἐμπέσῃ.

35. Ἔχοντος δὲ οἱ ἐν χερσὶ τὸ παιδὸς τὸν γάμον, ἀπικνέεται ἐς τὰς Σάρδις ἀνὴρ συμφορῇ ἐχόμενος, καὶ ϰ' καθαρὸς χεῖρα ἐών, Φρύξ μὲν γενεῇ, γένεος δὲ τοῦ βασιληΐϊου. παρελθὼν δὲ οὗτος ἐς τὰ Κροίσϊα οἰκία, κατὰ νόμους τοὺς ἐπιχωρίους καθαρσίϊα ἐδέετο κυρῆσαι· Κροῖσος δέ μιν ἐκάθηρε. ἔστι δὲ παραπλησίη ἡ κάθαρσις τοῖσι

новъ. Ихъ у Креза было два: одинъ обиженъ былъ природою; ибо нѣмъ былъ; напротивъ, другой во всемъ превосходилъ своихъ сверстниковъ: имя ему было Атисъ. О семъ-то Атисѣ сновидѣніе предсказало, что Крезъ лишится его пораженіемъ острія желѣза. Крезъ, пробудившись, и, устрашась сновидѣнія, по довольномъ размышленіи, избираетъ для сына жену, и какъ онъ обыкновенно предводительствовалъ Лидійцами, то впредь никогда уже не сталъ посылать его для сей должности, и стрѣлы и копья и все, употребляемое на войнѣ оружіе, вынесши изъ мужскихъ комнатъ, положилъ въ кладовую, дабы которое нибудь изъ сего оружія, обыкновенно висѣвшаго на стѣнѣ, не упало на сына.

XXXV. Между тѣмъ, какъ дѣлались приготовленія къ свадьбѣ, приходитъ изъ Сардъ нѣкто гонимый несчастіемъ, съ нечистыми руками, родомъ Фригіецъ, поколѣнія царскаго. Вошедъ въ чертоги Креза, онъ, по законамъ той страны, проситъ очищенія, и Крезъ на то соглашается. У Лидянъ образъ очищенія сходенъ съ Эллинскимъ. По совершеніи очистительнаго обряда, Крезъ, желая знать, откуда и кто онъ, вопрошаетъ его: „кто ты, незнако-

Λυδοῖσι καὶ τοῖσι Ἕλλησι. ἐπεί τε δὲ τὰ νομιζόμενα ἐποίησε ὁ Κροῖσος, ἐπυνθάνετο ὁκόθεν τε καὶ τίς εἴη, λέγων τάδε· »Ὤνθρωπε, τίς τε »ἐὼν, καὶ κόθεν τῆς Φρυγίης ἦκων, ἐπίσιος ἐμοὶ »ἐγένεο; τίνα τε ἀνδρῶν ἢ γυναικῶν ἐφόνευσας;« Ὁ δὲ ἀμείβετο· »Ὦ βασιλεῦ, Γορδίεω μὲν τῷ »Μίδεώ εἰμι παῖς, ὀνομάζομαι δὲ Ἄδρηστος· Φο»νεύσας δὲ ἀδελφεὸν ἐμεωυτῷ ἀέκων, πάρειμι ἐξεληλαμένος τε ὑπὸ τῷ πατρὸς, καὶ ἐσερημένος »πάντων.« Κροῖσος δέ μιν ἀμείβετο τοῖσδε· »Ἀν»δρῶν τε Φίλων τυγχάνεις ἔκγονος ἐὼν, καὶ ἐλή«λυθας ἐς Φίλες· ἔνθα ἀμηχανήσεις χρήματος »οὐδενός, μένων ἐν ἡμετέρῳ. συμφορὴν δὲ ταύτην »ὡς κεφότατα Φέρων, κερδανέεις πλεῖσον.« Ὁ μὲν δὴ δίαιταν εἶχε ἐν Κροίσῳ.

36. Ἐν δὲ τῷ αὐτῷ χρόνῳ τούτῳ, ἐν τῷ Μυσίῳ Οὐλύμπῳ συὸς χρῆμα γίνεται μέγα· ὀρμεώμενος δὲ ἔκτος ἐκ τοῦ ὄρεος τούτου, τὰ τῶν Μυσῶν ἔργα διαφθείρεσκε. πολλάκι δὲ οἱ Μυσοὶ ἐπ' αὐτὸν ἐξελθόντες, ποιέεσκον μὲν οὐδὲν κακὸν, ἔπασχον δὲ πρὸς αὐτοῦ. τέλος δὲ, ἀπικόμενοι παρὰ τὸν Κροῖσον τῶν Μυσῶν ἄγγελοι, ἔλεγον τάδε, »Ὦ βασιλεῦ, υἱὸς χρῆμα μέγιστον »ἀνεφάνη ἡμῖν ἐν τῇ χώρῃ, ὃς τὰ ἔργα διαφ»θείρει. τοῦτον προθυμεόμενοi ἑλέειν, οὐ δυνά»μεθα. νῦν ὦν προσδεόμεθά σευ, τὸν παῖδα καὶ »λογάδας νεηνίας καὶ κύνας συμπέμψαι ἡμῖν, ὡς »ἄν μιν ἐξέλωμεν ἐκ τῆς χώρης.« Οἱ μὲν δὴ τού-

мецъ! и изъ коего мѣста Фригіи пришелъ ты просить у меня убѣжища? Кого изъ мущинъ или женщинъ убилъ ты?“ „О Государь! отвѣтствуетъ ему иноземецъ; я сынъ Гордія и внукъ Мида. Имя мнѣ Адраспъ. Я ненарожомъ убилъ брата своего; за что отецъ изгналъ меня и я всего лишился.“ „Родители твои, сказалъ Крезъ, намъ друзья, и ты къ друзьямъ пришелъ. Здѣсь ни въ чемъ не будешь имѣть нужды, доколѣ жить будешь у насъ. Перенося бѣдствіе сіе сколь можно терпѣливѣе, ты съ избыткомъ за оное вознаградишься.“ Такимъ образомъ онъ остался жить при Крезѣ.

XXXVI. Въ сіе время на Мисійскомъ Олимпѣ появился необыкновенной величины Вепрь, который съ сей горы нападалъ на Мисійскія поля и раззорялъ ихъ. Мисяне многократно выходили противъ него; но ему не могли сдѣлать ничего худаго, а сами отъ него терпѣли бѣду. Наконецъ Мисяне послали къ Крезу повѣренныхъ, кои, пришедши къ нему, сказали: „Государь! въ нашей странѣ появился чрезмѣрной величины Вепрь, который опустошаетъ поля наши. Сколько мы ни старались поймать его, но не можемъ въ томъ успѣть. Почему просимъ нынѣ тебя, послать съ нами сына своего, отборныхъ

των ἐδέοντο. Κροῖσος δὲ μνημονεύων τοῦ ὀνείρου τὰ ἔπεα, ἔλεγέ σφι τάδε· »Παιδὸς μὲν περὶ τοῦ »ἐμοῦ μὴ μνησθῆτε ἔτι· οὐ γὰρ ἂν ὑμῖν συμπέμ»ψαιμι· νεόγαμός τε γὰρ ἐστι, καὶ ταῦτά οἱ νῦν »μέλει. Λυδῶν μέντοι λογάδας καὶ τὸ κυνηγέ»σιον πᾶν συμπέμψω· καὶ διαχελεύσομαι τοῖσι »ἰοῦσι, εἶναι ὡς προθυμοτάτοισι συνεξελεῖν ὑμῖν »τὸ θηρίον ἐκ τῆς χώρης.«

37. Ταῦτα ἀμείψατο. ἀποχρεωμένων δε τοῦτοισι τῶν Μυσῶν, ἐπεισέρχεται ὁ τοῦ Κροίσου παῖς, ἀκηκοὼς τῶν ἐδέοντο οἱ Μυσοί. οὐ φαμένου δὲ τοῦ Κροίσου τόν γε παῖδά σφι συμπέμψειν, λέγει πρὸς αὐτὸν ὁ νεηνίης τάδε· »Ὦ πάτερ, τὰ »κάλλιστα πρότερόν κοτε καὶ γενναιότατα ἡμῖν »ἦν, ἔς τε πολέμους καὶ ἐς ἄγρας φοιτέοντας εὐ»δοκιμέειν· νῦν δὲ ἀμφοτέρων με τούτων ἀπο»κλῄσας ἔχεις, οὔτε τινὰ δειλίην μοι παριδών, »οὔτε ἀθυμίην. νῦν τε τέοισί με χρὴ ὄμμασι ἔς »τε ἀγορὴν καὶ ἐξ ἀγορῆς φοιτέοντα φαίνεσθαι; »κοῖος μέν τις τοῖσι πολιήτῃσι δόξω εἶναι; κοῖος »δέ τις τῇ νεογάμῳ γυναικί; κοίῳ δὲ ἐκείνη δό»ξει ἀνδρὶ συνοικέειν; ἐμὲ ὦν σὺ ἢ μέθες ἰέναι »ἐπὶ τὴν θήρην, ἢ λόγῳ ἀνάπεισον ὅκως μοι »ἀμείνω ἐσὶ ταῦτα ἔτω ποιεόμενα.«

юношей и собакъ, чтобъ намъ избавить отъ сего звѣря страну свою.“ Такова была просьба ихъ; но Крезъ, помня слова сновидѣнія, отвѣчалъ имъ: „о сынѣ моемъ не напоминайте уже мнѣ; его съ вами я не пошлю; онъ только лишь женился; ему не до того; но пошлю съ вами отборное юношество Лидійцевъ со всею псарнею, и прикажу имъ, чтобъ всемѣрно постарались съ вами, избавить вашу страну отъ сего чудовища.“

XXXVII. Таковъ былъ отвѣтъ Царя, и Мисяне были тѣмъ довольны; но между тѣмъ приходитъ сынъ Креза, услышавъ, чего просили Мисяне, и узнавъ, что отецъ не хочетъ его послать, говоритъ: „Родитель! прежде я имѣлъ величайшую честь и благороднѣйшій подвигъ, — на войнѣ и на охотѣ пріобрѣтать славу; нынѣ же, лишивъ того и другаго, держишь меня въ заперти, не замѣтивъ во мнѣ ни трусости, ни малодушія. Съ какими глазами теперь долженъ я казаться, идучи на сборище или изъ онаго? Что станутъ думать обо мнѣ граждане? каковымъ покажусь новобрачной супругѣ своей? Съ какимъ мужемъ она почтетъ себя сожительствующею? И такъ, или позволь мнѣ ити на охоту, или вразуми меня, что мнѣ полезнѣе то, что ты дѣлаешь.“

38. Ἀμείβεται Κροῖσος τοῖσδε· »Ω παῖ, ἔτε »δειλίην, ἔτε ἄλλο ἐδὲν ἄχαρι παριδών τοι, ποιέω »ταῦτα· ἀλλά μοι ὄψις ὀνείρῳ ἐν τῷ ὕπνῳ ἐπι»σᾶσα ἔφη σε ὀλιγοχρόνιον ἔσεσθαι· ὑπὸ γὰρ »αἰχμῆς σιδηρέης ἀπολέεσθαι. πρὸς ὧν τὴν ὄψιν »ταύτην, τόν τε γάμον τοι τοῦτον ἔσπευσα, καὶ »ἐπὶ τὰ παραλαμβανόμενα οὐκ ἀποπέμπω, Φυ»λακὴν ἔχων εἴ κως δυναίμην ἐπὶ τῆς ἐμῆς σε »ζωῆς διαχλέψαι. εἷς γάρ μοι μοῦνος τυγχάνεις »ἐὼν παῖς· τὸν γὰρ δὴ ἕτερον, διεφθαρμένον τὴν »ἀκοὴν, οὐκ εἶναί μοι λογίζομαι.«

39. Ἀμείβεται ὁ νεηνίης τοῖσδε· »Συγ»γνώμη μέν, ὦ πάτερ τοι, ἰδόντί γε ὄψιν τοι»αύτην, περὶ ἐμὲ Φυλακὴν ἔχειν· τὸ δὲ οὐ μαν»θάνεις, ἀλλὰ λέληθέ σε τὸ ὄνειρον, ἐμέ τοι »δίκαιόν ἐστι Φράζειν. Φής τοι τὸ ὄνειρον ὑπὸ »αἰχμῆς σιδηρέης Φάναι ἐμὲ τελευτήσειν· ὑὸς δὲ »κοῖαι μέν εἰσι χεῖρες, κοίη δὲ αἰχμὴ σιδηρέη, »ἣν σὺ Φοβέεαι; εἰ μέν γὰρ ὑπὸ ὀδόντος τοι »εἶπε τελευτήσειν με, ἢ ἄλλεῳ τευ ὅ, τι τοιτῳ ἔοι»κε, χρῆν δή σε ποιέειν τὰ ποιέεις· νῦν δὲ ὑπὸ »αἰχμῆς ἐπεί τε ὢν ὑὸ πρὸς ἄνδρας ἡμῖν γίνεται »ἡ μάχη, μέθες με.«

XXXVIII. „Сынъ! отвѣчаетъ ему Крезъ, ни прусосши, ни инаго чего, мнѣ непріятнаго, не замѣтивъ въ тебѣ, дѣлаю сіе; но во снѣ явилось мнѣ привидѣніе, которое сказало, что ты не долго жить будешь и погибнешь отъ острія желѣза. По сей-то причинѣ поспѣшилъ я и женитьбою твоею и не посылаю на предпринимаемую охоту, охраняя тебя отъ опасности, сколько могу при жизни своей. Ты у меня одинъ сынъ; другаго, ~~отъ~~ женнаго природою, считаю такъ, какъ бы его не было у меня.“

XXIX. „Отецъ! возражаетъ ему юноша,— видѣнный тобою сонъ извиняетъ тебя въ томъ, что ты бережешь меня; но позволь мнѣ сказать, что ты не замѣчаешь, или забылъ истинный смыслъ сновидѣнія. Ты говоришь, что я, по словамъ его, долженъ погибнуть отъ острія желѣза; но у Вепря какія руки? Какое остріе желѣза, коего ты опасаешься? Если бы привидѣніе сказало, что я погибну отъ зуба какаго звѣря или отъ другаго чего, тому подобнаго: тогда слѣдовало бы тебѣ дѣлать то, что нынѣ дѣлаешь; но оно сказало, что погибну отъ острія желѣза. А какъ теперь дѣло идетъ не о сраженіи съ людьми; то отпусти меня.“

40. Ἀμείβεται Κροῖσος, »Ὦ παῖ, ἔσι τῇ με »νιχᾶς γνώμην ἀποφαίνων περὶ τῦ ἐνυπνίυ. ὡς »ὦν νενικημένος ὑπὸ σέο, μεταγινώσκω, μετίημί »τέ σε ἰέναι ἐπὶ τὴν ἄγρην.«

41. Εἶπας δὲ ταῦτα ὁ Κροῖσος, μεταπέμπεται τὸν Φρύγα Ἄδρηστον· ἀπιχομένῳ δέ οἱ λέγει τάδε· »Ἄδρηστε, ἐγώ σε συμφορῇ πεπληγμένον »ἀχάριτι, τήν τοι οὐχ ὀνειδίζω, ἐχάθηρα, καὶ »οἰκίοισι ὑποδεξάμενος ἔχω, παρέχων πᾶσαν δα»πάνην· νῦν ὦν (ὀφειλεις γὰρ, ἐμεῦ προποιήσαν»τος χρηστὰ ἐς σέ, χρηστοῖσί με ἀμείβεσθαι) φύ»λακα παιδός σε τῦ ἐμῦ χρήζω γενέσθαι, ἐς »ἄγρην ὁρμεωμένυ· μή τινες κατ' ὁδὸν κλῶπες »κακῦργοι ἐπὶ δηλήσει Φανέωσί υμῖν. πρὸς δέ, »ἐς τοῦτο καὶ σέ τοι χρεών ἐσι ἰέναι, ἔνθα ἀπο»λαμπρύνεαι τοῖσι ἔργοισι. πατρώϊόν τε γὰρ τοί »ἐσι, καὶ προσέτι ϛώμη ὑπάρχει.«

42. Ἀμείβεται ὁ Ἄδρηστος· „Ὦ βασιλεῦ, ἄλλως μὲν ἔγωγε ἂν οὐκ ἤϊα ἐς ἄεθλον τοιόν„δε· ἔτε γὰρ συμφορῇ τοιῇδε κεχρημένον οἰκός „ἐσι ἐς ὁμήλικας εἶ πρήσσοντας ἰέναι, οὔτε τὸ „βλέσθαι πάρα· πολλαχῇ τε ἂν ἴσχον ἐμεωυ„τόν. νῦν δὲ, ἐπεί τε σὺ σπεύδεις, καὶ δεῖ τοι „χαρίζεσθαι, (ὀφείλω γάρ σε ἀμείβεσθαι χρη-

XL. „Сынъ! ты побѣждаешь меня, изъясняя смыслъ сновидѣнія. И такъ, побѣжденный тобою, перемѣняю мысли свои, и позволяю тебѣ ипти на охоту.“

XLI. Сказавъ сіе, Крезъ посылаетъ за Фригійцемъ Адрастомъ, и, когда онъ пришелъ, говоритъ ему: „Адрастъ! я очистилъ тебя, пораженнаго пагубнымъ бѣдствіемъ, въ коемъ не укоряю тебя; принялъ тебя въ домъ свой, и доставляю тебѣ все содержаніе. За сдѣланное тебѣ добро ты обязанъ воздать мнѣ добромъ. Нынѣ я прошу тебя быть охранителемъ сына моего, отправляющагося на охоту, если нападутъ на васъ въ дорогѣ разбойники; при томъ, и долгъ твой ипти туда, гдѣ бы могъ ты прославиться дѣлами. Склонность къ тому долженъ ты наслѣдовать отъ родителя и крѣпость силъ твоихъ оной способствуетъ.“

XLII. „Государь! отвѣтствуетъ ему Адрастъ; я не хотѣлъ бы ипти на таковый подвигъ; пораженному бѣдствіемъ, подобнымъ моему, не прилично мѣшаться со сверстниками, не познавшими еще онаго. Я не желалъ того и всегда воздерживался въ своихъ требованіяхъ. Нынѣ же, поелику самъ ты желаешь сего и я обязанъ дѣлать угодное тебѣ, дабы воздать за твои благодѣянія; я готовъ

„σοῖσι), ποιέειν εἰμὶ ἑτοῖμος ταῦτα. παῖδά τε σὸν, τὸν διαχελεύεαι Φυλάσσειν, ἀπήμονα τῷ „Φυλάσσοντος εἶνεκεν προσδόκα τοι ἀπονοσή„σειν.“

43. Τοιούτοισι ἐπεί τε ὕτος ἀμείψατο Κροῖσον, ἧῖσαν μετὰ ταῦτα ἐξηρτυμένοι λογάσι τε νεηνίῃσι καὶ χυσί. ἀπικόμενοι δὲ ἐς τὸν Οὔλυμπον τὸ ὄρος, ἐζήτεον τὸ θηρίον· εὑρόντες δέ, καὶ περισάντες αὐτὸ κύκλῳ, ἐσηκόντιζον. ἔνθα δὴ ὁ ξεῖνος. οὗτος δὴ ὁ καθαρθεὶς τὸν φόνον, καλεόμενος δὲ Ἄδρηστος, ἀκοντίζων τὸν σῦν, τῷ μὲν ἁμαρτάνει, τυγχάνει δὲ τοῦ Κροίσῳ παιδός. ὁ μὲν δὴ βληθεὶς τῇ αἰχμῇ, ἐξέπλησε τῷ ὀνείρῳ τὴν Φήμην. ἔθεε δὲ τις ἀγγελέων τῷ Κροίσῳ τὸ γεγονός· ἀπικόμενος δὲ ἐς τὰς Σάρδις, τήν τε μάχην καὶ τὸν τῷ παιδὸς μόρον ἐσήμηνέ οἱ.

44. Ὁ δὲ Κροῖσος, τῷ θανάτῳ τῷ παιδὸς συντεταραγμένος, μᾶλλόν τι ἐδεινολογέετο, ὅτι μιν ἀπέκτεινε τὸν αὐτὸς φόνῳ ἐκάθηρε. περιημεκτέων δὲ τῇ συμφορῇ δεινῶς, ἐκάλεε μὲν Δία Καθάρσιον, μαρτυρόμενος τὰ ὑπὸ τῷ ξείνῳ πεπονθὼς εἴη· ἐκάλεε δὲ Ἑπίσιόν τε καὶ Ἑταιρήϊον, τὸν αὐτὸν τοῦτον ὀνομάζων θεόν· τὸν μὲν Ἑπίσιον καλέων, διότι δὴ οἰκίοισι ὑποδεξάμενος τὸν

повиноваться твоему повелѣнію. Вѣрь, что сынъ твой, коего ввѣряешь мнѣ, возвратится невредимымъ, сколько то зависѣть будетъ отъ его охранителя.“

XLIII. Послѣ сего отвѣта, они отправляются въ путь, сопровождаемые отборными юношами и собаками. Прибывъ на гору Олимпъ, ищутъ звѣря; находятъ, окружаютъ его и начинаютъ метать въ него стрѣлы. Тогда иноземецъ, тотъ самый, который очищенъ былъ отъ убійства, коему имя Адрастъ, пустивъ стрѣлу на вепря, попадаетъ не въ него, а въ сына Крезова. Такимъ образомъ, убіеніемъ его, остріемъ желѣза, оправдано предсказаніе сновидѣнія. Немедленно вѣстникъ, прибывъ въ Сарды, извѣщаетъ Креза какъ о отравѣ, такъ и о смерти сына его.

XLIV. Крезъ, пораженный смертію сына, тѣмъ сильнѣе чувствуетъ горесть, что убилъ его тотъ самый, кого Крезъ очистилъ отъ убійства. Тяжко сѣтуя о своемъ несчастіи, онъ взываетъ къ *Зевсу Очистителю*, свидѣтельствуясь имъ, что такое претерпѣлъ онъ отъ странника; взываетъ къ *Странноприимцу* и *Дружелюбцу*, именуя того же самаго бога: къ первому, потому что, принявъ странника въ домъ свой, питалъ въ немъ

ξεῖνον, Φονέα τῦ παιδὸς ἐλάνθανε βόσκων· τὸν δὲ Ἑταιρήϊον, ὡς Φύλακα συμπέμψας αὐτὸν, εὑρήκοι πολεμιώτατον.

45. Παρῆσαν δὲ μετὰ τῦτο οἱ Λυδοὶ Φέροντες τὸν νεκρόν· ὄπισθεν δὲ εἵπετό οἱ ὁ Φονεύς. σὰς δὲ ἕτος πρὸ τῦ νεκρῦ, παρεδίδυ ἑωϋτὸν Κροίσῳ, προτείνων τὰς χεῖρας, ἐπικανασφάξαι μιν κελεύων τῷ νεκρῷ· λέγων τήν τε προτέρην ἑωϋτοῦ συμφορὴν, καὶ ὡς ἐπ' ἐκείνῃ τὸν καθήραντα ἀπολωλεκὼς εἴη· οὐδέ οἱ εἴη βιώσιμον. Κροῖσος δὲ τούτων ἀκούσας, τόν τε Ἄδρηστον κατοικτείρει, καίπερ ἐὼν ἐν κακῷ οἰκηίῳ τοσῦτῳ, καὶ λέγει πρὸς αὐτόν· „Ἔχω, ὦ ξεῖνε, παρὰ „σεῦ πᾶσαν τὴν δίκην, ἐπειδὴ σεωϋτῦ κατάδι„κάζεις θάνατον. εἷς δὲ ὑ σύ μοι τῦδε τῦ κα„κοῦ αἴτιος, εἰ μὴ ὅσον ἀέκων ἐξεργάσαο· ἀλλὰ „θεῶν κοῦ τις, ὅς μοι καὶ πάλαι προσσήμαινε τὰ μέλλοντα ἔσεσθαι.“ Κροῖσος μέν νυν ἔθαψε ὡς οἰκὸς ἦν τὸν ἑωϋτοῦ παῖδα. Ἄδρηστος δὲ ὁ Γορδίεω τῦ Μίδεω, ἕτος δὴ ὁ Φονεὺς μὲν τῦ ἑωϋτοῦ ἀδελφεοῦ γενόμενος, Φονεὺς δὲ τοῦ καθήραντος, ἐπεί τε ἡσυχίη τῶν ἀνθρώπων ἐγένετο περὶ τὸ σῆμα, συνγινωσκόμενος ἀνθρώπων εἶναι τῶν αὐτὸς ἤειδε βαρυσυμφορώτατος, ἑωϋτὸν ἐπικατασφάζει τῷ τύμβῳ. Κροῖσος δὲ ἐπὶ δύο ἔτεα ἐν πένθει μεγάλῳ καθῆστο, τῦ παιδὸς ἐστερημένος.

убійцу сына своего; къ послѣднему потому, что,ославъ его съ сыномъ, нашелъ въ немъ величайшаго врага.

XLV. Послѣ сего пришли и Лидяне съ трупомъ; убійца шелъ за ними, и, остановясь предъ трупомъ, предавъ себя Крезу, простерши къ руки, прося заколоть его на самомъ трупѣ и говоря, что не долженъ жить тотъ, кто погубилъ очистившаго его отъ перваго убійства. Крезъ, услышавъ сіе, при всемъ домашнемъ злополучіи своемъ, сжалился надъ Адрастомъ и сказалъ: „О странникъ! ты уже совершенно удовлетворилъ моему мщенію, осуждая самъ себя на смерть; не ты виною моего несчастія; ты сдѣлалъ сіе нечаянно. Виновникъ тому нѣкій богъ, давно уже предрекшій мнѣ сіе событіе.“ По семъ Крезъ погребаетъ сына своего съ достойнымъ его происхожденія великолѣпіемъ. Адрастъ же, сынъ Гордія, внукъ Мида, когда около гроба шумъ людей утихъ, сей убійца брата своего, убійца благодѣтеля своего, признавая себя злополучнѣйшимъ всѣхъ смертныхъ, самъ себя закалаетъ на могилѣ. — Крезъ, лишась сына, два года оплакивалъ его въ великой горести.

XLVI. Послѣ сего паденіе царства Астіага, сына Ціаксарова, разрушеннаго Киромъ,

46 Μετὰ δὲ ἡ Ἀσυάγεος τῷ Κυαξάρεω ἡγεμονίη καταιρεθεῖσα ὑπὸ Κύρῳ τῷ Καμβύσεω, καὶ τὰ τῶν Περσέων πρήγματα ἀυξανόμενα, πένθεος μὲν Κροῖσον ἀπέπαυσε· ἐνέβησε δὲ ἐς Φροντίδα, εἴ κως δύναιτο, πρὶν μεγάλως γενέσθαι τοὺς Πέρσας, καταλαβεῖν αὐτῶν αὐξανομένην τὴν δύναμιν. μετὰ ὧν τὴν διάνοιαν ταύτην αὐτίκα ἀπεπειρᾶτο τῶν μαντηίων τῶν τε ἐν Ἕλλησι, καὶ τῷ ἐν Λιβύῃ· διαπέμψας ἄλλως ἄλλῃ, τοὺς μὲν ἐς Δελφοὺς ἰέναι, τοὺς δὲ ἐς Ἄβας τὰς Φωκέων, τοὺς δὲ ἐς Δωδώνην· οἱ δέ τινες ἐπέμποντο παρά τε Ἀμφιάρεων καὶ παρὰ Τροφώνιον· οἱ δὲ, τῆς Μιλησίης ἐς Βραγχίδας, ταῦτα μέν νυν τὰ Ἑλληνικὰ μαντήια, ἐς τὰ ἀπέπεμψε μαντευσόμενος Κροῖσος· Λιβύης δὲ παρὰ Ἄμμωνα ἀπέστειλε ἄλλως χρησομένους. διέπεμπε δὲ πειρεώμενος τῶν μαντηίων ὅ, τι Φρονέοιεν· ὡς εἰ Φρονέοντα τὴν ἀληθηίην εὑρεθείη, ἐπείρηται σφεα δεύτερα πέμπων, εἰ ἐπιχειρέοι ἐπὶ Πέρσας στρατεύεσθαι.

47. Ἐντειλάμενος δὲ τοῖσι Λυδοῖσι τάδε, ἀπέπεμπεν ἐς τὴν διάπειραν τῶν χρηστηρίων· ἀπ' ἧς ἂν ἡμέρης ὁρμηθέωσι ἐκ Σαρδίων, ἀπὸ τωύτης ἡμερολογέοντας τὸν λοιπὸν χρόνον ἑκατοστῇ ἡμέρῃ χρᾶσθαι τοῖσι χρηστηρίοισι, ἐπειρωτέοντας ὅ, τι ποιέων τυγχάνοι ὁ Λυδῶν βασιλεὺς Κροῖσος ὁ Ἀλυάττεω. ἄσσα δ' ἂν ἔκαστα τῶν

сыномъ Камбизовымъ, и возрастающіе успѣхи Персовъ, положили конецъ Крезову сѣпованію, обративъ мысли его на другой предмѣтъ. Онъ почувствовалъ необходимость удержать возрастающую силу Персовъ, если можно, прежде нежели они достигнутъ величія. При таковомъ намѣреніи, немедленно вопрошаетъ прорицалища какъ Эллинскія, такъ и Ливійскія,ославъ въ разныя мѣста: однихъ къ Дельфійцамъ, другихъ въ Авы Фокейскія, иныхъ въ Додону; другихъ къ прорицалищу Амфіарееву, и къ Трофоніеву: иныхъ къ Бранхидамъ, въ Милисію. Къ симъ-то Эллинскимъ прорицалищамъ Крезъ послалъ просить совѣта. Въ Ливію же послалъ къ Аммону. Онъ хотѣлъ прежде удосповѣриться, знаютъ ли что сіи прорицалища; и если найдетъ, что имъ истина извѣстна: то намѣренъ былъ послать къ нимъ въ другой разъ вопросить: предпринимать ли ему войну съ Персами.

XLVII. И такъ онъ отправилъ повѣренныхъ для испытанія прорицалищъ, повелѣвъ имъ, чтобы, считая время съ того дня, какъ отправятся они изъ Сардъ, въ сотый день прибыли къ прорицалищамъ и вопросили бы у нихъ: *что въ тотъ день дѣлаетъ Лидійскій Царь Крезъ, сынъ Аліатта*, и что каж-

χρηστηρίων θεσπίσῃ, συγγραψαμένους ἀναφέρειν παρ' ἑωυτόν. ὅ, τι μέν νυν τὰ λοιπὰ τῶν χρηστηρίων ἐθέσπισε, ἐ λέγεται πρὸς ἐδαμῶν· ἐν δὲ Δελφοῖσι ὡς ἐξῆλθον τάχιστα ἐς τὸ μέγαρον οἱ Λυδοὶ χρησόμενοι τῷ θεῷ, καὶ ἐπειρώτεον τὸ ἐντεταλμένον, ἡ Πυθίη ἐν ἑξαμέτρῳ τόνῳ λέγει τάδε·

Οἶδα δ' ἐγὼ ψάμμου τ' ἀριθμὸν, καὶ μέτρα θαλάσσης,
Καὶ κωφῦ συνίημι, καὶ ἐ φωνεῦντος ἀκούω.
Ὀδμή μ' ἐς φρένας ἦλθε κραταιρίνοιο χελώνης
Ἑψομένης ἐν χαλκῷ ἅμ' ἀρνείοισι κρέεσσιν,
Ἧι χαλκὸς μὲν ὑπέρωται, χαλκὸν δ' ἐπίεσται.

48. Ταῦτα οἱ Λυδοὶ θεσπίσασης τῆς Πυθίης συγγραψάμενοι, οἴχοντο ἀπιόντες ἐς τὰς Σάρδις. ὡς δὲ καὶ ἄλλοι οἱ περιπεμθέντες παρῆσαν φέροντες τὰς χρησμὰς, ἐνθαῦτα ὁ Κροῖσος ἔκλασα ἀναπτύσσων ἑκάστων τῶν συγγραμμάτων. τῶν μὲν δὴ οὐδὲν προσίετό μιν· ὁ δὲ, ὡς τὸ ἐκ Δελφῶν ἤκουσε, αὐτίκα προσεύχετό τε καὶ προσεδέξατο, νομίσας μοῦνον εἶναι μαντήϊον τὸ ἐν Δελφοῖσι, ὅτι οἱ ἐξευρήκεε τὰ αὐτὸς ἐποίησε. ἐπεί τε γὰρ δὴ διέπεμψε παρὰ τὰ χρηστήρια τὰς θεοπρόπους, φυλάξας τὴν κυρίην τῶν ἡμερέων,

дое изъ нихъ скажетъ, записали бы и ему бы представили. Что такое отвѣтствовали прочія прорицалища, никто о семъ не упоминаетъ; но коль скоро посланные, прибывъ къ Дельфійцамъ, вошли въ придѣлъ прорицалища и вопросили о повелѣнномъ: Пиѳія шестимѣрнымъ тономъ отвѣтствовала слѣдующее:

Я вѣдаю число песка и мѣру моря; понимаю нѣмаго, и слышу не говорящаго. Недавно поразила мои чувства воня толстокожей черепахи, которая варится въ мѣди купно съ мясами овновъ; мѣдь подостлана и мѣдь покрываетъ ихъ.

XLVIII. Лидійцы, записавъ сей отвѣтъ Пиѳіи, отправились въ Сарды. Когда всѣ посланные возвратились съ письменными отвѣтами прорицалищъ; Крезъ каждый изъ нихъ пересмотрѣлъ и ни на одинъ не обратилъ вниманія. Но услышавъ принесенный отъ Дельфійцевъ, немедленно сталъ молиться и одобрилъ оный, признавъ Дельфійское прорицалище одно достойнымъ сего имени; поелику оно узнало, что такое Крезъ дѣлалъ. Отправивъ повѣренныхъ къ прорицалищамъ и наблюдая назначенный день, онъ выдумалъ нѣ-

ἐμηχανήσατο τοιάδε· ἐπινοήσας τὰ ἦν ἀμήχανον ἐξευρεῖν τε καὶ ἐπιφράσασθαι· χελώνην καὶ ἄρνα κατακόψας, ὁμοῦ ἕψεε αὐτὸς ἐν λέβητι χαλκέῳ, χάλκεον ἐπίθημα ἐπιθείς.

49. Τὰ μὲν δὴ ἐκ Δελφῶν ἕτω τῷ Κροίσῳ ἐχρήσθη· κατὰ δὲ τὴν Ἀμφιάρεω τε μαντηίου ἀπόχρισιν, οὐκ ἔχω εἰπεῖν ὅ, τι τοῖσι Λυδοῖσι ἔχρησε, ποιήσασι περὶ τὸ ἱρὸν τὰ νομιζόμενα. οὐ γὰρ ὧν οὐδὲ τοῦτο λέγεται ἄλλό γε, ἢ ὅτι καὶ τοῦτο ἐνέμισε μαντήιον ἀψευδὲς ἐκτῆσθαι.

50. Μετὰ δὲ ταῦτα θυσίῃσι μεγάλῃσι τὸν ἐν Δελφοῖσι θεὸν ἱλάσκετο, κτήνεά τε γὰρ τὰ θύσιμα πάντα τρισχίλια ἔθυσε, κλίνας τε ἐπιχρύσους καὶ ἐπαργύρους, καὶ φιάλας χρυσέας, καὶ εἵματα πορφύρεα, καὶ κιθῶνας, νήσας πυρὴν μεγάλην, κατέκαιε· ἐλπίζων τὸν θεὸν μᾶλλόν τι τούτοισι ἀναχτήσεσθαι· Λυδοῖσί τε πᾶσι προεῖπε, θύειν πάντα τινὰ αὐτῶν τούτῳ, ὅ. τι ἔχοι ἕκαστος. ὡς δὲ ἐκ τῆς θυσίης ἐγένετο, καταχεάμενος χρυσὸν ἄπλεστον, ἡμιπλίνθια ἐξ αὐτοῦ ἐξήλαυνε· ἐπὶ μὲν τὰ μακρότερα, ποιέων ἑξαπάλαισα· ἐπὶ δὲ τὰ βραχύτερα, τριπάλαισα· ὕψος δὲ, παλαισιαῖα· ἀριθμὸν δὲ, ἑπτακαίδεκα καὶ ἑκατόν. καὶ τετέων, ἀπέφθῳ χρυσῷ τέσσαρα, τρίτον ἡμιτά-

что такое, чего не возможно было никому узнать и отгадать: изрѣзавъ въ куски черепаху и барана, самъ варилъ ихъ вмѣстѣ въ мѣдномъ котлѣ, покрывъ его мѣдною крышкою.

XLIX. Таковый отвѣтъ принесенъ былъ Крезу отъ Дельфійцевъ; но что такое отвѣтствовало Лидянамъ прорицалище Амфіареево, по совершеніи ими въ храмѣ его законныхъ обрядовъ, — того сказать не могу. Ибо о семъ прорицалищѣ говорятъ только то, что Крезъ и оное призналъ неложнымъ.

L. Послѣ сего Крезъ старался преклонить къ себѣ Дельфійскаго бога многоцѣнными жертвоприношеніями. Онъ заклалъ три тысячи животныхъ всякаго рода, годныхъ для жертвы; склавши обширный костеръ, сжегъ на немъ позлащенные и посребренные одры, золотые сосуды, пурпуровыя одежды и хитоны, думая симъ паче приобрѣсть себѣ покровительство онаго бога. При томъ повелѣлъ и всѣмъ Лидійцамъ, принести ему въ жертву все, что каждый изъ нихъ имѣлъ. По окончаніи жертвоприношенія, изъ безмѣрнаго множества слившагося золота велѣлъ сковать полуплинѳы, въ длину на шесть пяденей, въ ширину на три, въ толщину на пядень, числомъ сто семнадцать. Изъ нихъ че-

λαντον ἕκασον ἕλκοντα· τὰ δὲ ἄλλα ἡμιπλίνθια, λευκοῦ χρυσοῦ. σαθμὸν διτάλαντα, ἐποιέετο δὲ καὶ λέοντος εἰκόνα χρυσοῦ ἀπέφθε, ἕλκουσαν σαθμὸν τάλαντα δέκα. οὗτος ὁ λέων, ἔπεί τε κατεκαίετο ὁ ἐν Δελφοῖσι νηός, κατέπεσε ἀπὸ τῶν ἡμιπλινθίων· ἐπὶ γὰρ τούτοισι ἵδρυτο· καὶ νῦν κεῖται ἐν τῷ Κορινθίων θησαυρῷ, ἕλκων σαθμὸν ἕβδομον ἡμιτάλαντον· ἀπεκάκη γὰρ αὐτοῦ τέταρτον ἡμιτάλαντον.

51. Ἐπιτελέσας δὲ ὁ Κροῖσος ταῦτα, ἀπέπεμπε ἐς Δελφούς· καὶ τάδε ἄλλα ἅμα τοῖσι, κρητῆρας δύο μεγάθεϊ μεγάλους, χρῆσεον καὶ ἀργύρεον· τῶν ὁ μὲν χρύσεος ἐκέετο ἐπὶ δεξιὰ ἐσιόντι ἐς τὸν νηόν· ὁ δὲ ἀργύρεος, ἐπ' ἀριστερά. μετεκινήθησαν δὲ καὶ οὗτοι ὑπὸ τὸν νηὸν κατακαέντα καὶ ὁ μὲν χρύσεος κεῖται ἐν τῷ Κλαζομενίων θησαυρῷ, ἕλκων σαθμὸν ἔνατον ἡμιτάλαντον, καὶ ἔτι δυώδεκα μνέας· ὁ δὲ ἀργύρεος, ἐπὶ τοῦ προνηΐου τῆς γωνίης, χωρέων ἀμφορέας ἑξακοσίους. ἐπιχίρναται γὰρ ὑπὸ Δελφῶν Θεοφανίοισι. Φασὶ δέ μιν Δελφοὶ Θεοδώρου τοῦ Σαμίου ἔργον εἶναι. καὶ ἐγὼ δοκέω· οὐ γὰρ τὸ συντυχὸν φαίνεταί μοι ἔργον εἶναι. καὶ πίθους

ныре были изъ чистѣйшаго золота, вѣсомъ каждый въ два таланта съ половиною; прочія полуплинѳы были изъ бѣловатаго золота, вѣсомъ каждый въ два таланта. Онъ изваялъ изъ чистаго золота и льва, вѣсомъ въ десять талантовъ. Сей левъ, когда горѣлъ Дельфійскій храмъ, упалъ съ полуплинѳа; ибо на нихъ споялъ онъ, и нынѣ лежитъ въ сокровищницѣ Коринѳской, и вѣситъ шесть съ половиною талантовъ; а три съ половиною убавилось отъ расплавки на пожарѣ.

LI. Окончивъ сіи издѣлія, Крезъ послалъ оныя къ Дельфійцамъ, присовокупивъ къ нимъ еще двѣ чаши огромной величины: одну золотую, другую серебренную; изъ нихъ золотая поставлена была по правую сторону входа во храмъ, а серебренная по лѣвую. Но и онѣ, по сгорѣніи храма, перенесены въ другія мѣста: золотая, вѣсомъ въ восемь талантовъ съ половиною и двенадцать минъ, поставлена въ сокровищницѣ Клазоменской; а серебренная, вмѣщающая въ себѣ шесть сотъ вѣдеръ, въ углу предхрамія. Въ ней Дельфійцы въ праздникъ Ѳеофаній растворяютъ вино водою. Дельфійцы увѣряютъ, что чаша сія работы Ѳеодора Самосскаго; и я такъ думаю; ибо работа оной необыкновенная. Сверхъ

τε ἀργυρέους τέσσαρας ἀπέπεμψε, οἳ ἐν τῷ Κορινθίων θησαυρῷ ἑστᾶσι· καὶ περιῤῥαντήρια δύο ἀνέθηκε, χρύσεόν τε καὶ ἀργύρεον· τῶν τῷ χρυσέῳ ἐπιγέγραπται· ΛΑΚΕΔΑΙΜΟΝΙΩΝ, Φαμένων εἶναι ἀνάθημα· οὐκ ὀρθῶς λέγοντες. ἔστι γὰρ καὶ τοῦτο Κροίσου. ἐπέγραψε δὲ τῶν τις Δελφῶν, Λακεδαιμονίοισι βουλόμενος χαρίζεσθαι· τῷ ἐπισάμενος τὸ οὔνομα, οὐκ ἐπιμνήσομαι. ἀλλ' ὁ μὲν παῖς, δι' οὗ τῆς χειρὸς ῥέει τὸ ὕδωρ, Λακεδαιμονίων ἐστί· οὐ μέντοι τῶν γε περιῤῥαντηρίων ὑδέτερον, ἄλλά τε ἀναθήματα οὐκ ἐπίσημα πολλὰ ἀπέπεμψε ἅμα τούτοισι ὁ Κροῖσος, καὶ χεύματα ἀργύρεα κυκλοτερέα· καὶ δὴ καὶ γυναικὸς εἰδωλον χρύσεον τρίπηχυ, τὸ Δελφοὶ τῆς ἀρτοκόπου τῆς Κροίσου εἰκόνα λέγουσι εἶναι. πρὸς δέ, καὶ τῆς ἑωυτοῦ γυναικὸς τὰ ἀπὸ τῆς δειρῆς ἀνέθηκε ὁ Κροῖσος, καὶ τὰς ζώνας.

52. Ταῦτα μὲν ἐς Δελφοὺς ἀπέπεμψε. τῷ δὲ Ἀμφιάρεῳ, πυθόμενος αὐτοῦ τήν τε ἀρετὴν καὶ τὴν πάθην, ἀνέθηκε σάκος τε χρύσεον πᾶν, ὁμοίως καὶ αἰχμὴν σαρεὴν πᾶσαν. χρυσέην, τὸ ξυλὸν τῇσι λόγχῃσι ἐὸν ὁμοίως χρύσεον· τὰ ἔτι

того посланы были Крезомъ четыре серебренныя бочки, кои поставлены въ сокровищницѣ Коринѳской. Онъ пожертвовалъ также двѣ кропильницы: злашую и серебренную. На золотой надписано: *Лакедемонянъ*, кои увѣряютъ, что это ихъ приношеніе, впрочемъ несправедливо: ибо и оно Крезово. Надписалъ же на сей чашѣ, упомянутое слово нѣкто изъ Дельфійцевъ, желая тѣмъ угодить Лакедемонянамъ; имя его, хотя знаю, но открывать не хочу. Отрокъ же, изъ коего руки течетъ вода, есть даръ Лакедемонянъ; но изъ кропильницъ ни одна. Купно съ сими дарами Крезъ послалъ многіе другіе вклады, не замѣченные никакими знаками, между коими находились серебренныя кругловидныя чаши и златое женское изваяніе, вышиною въ три лактя, которое, какъ говорятъ Дельфійцы, представляетъ Крезову хлѣбницу. Наконецъ, сей Государь пожертвовалъ ожерелье и пояса жены своей.

LII. Таковые дары Крезъ послалъ къ Дельфійцамъ. Амфіарею же, узнавъ какъ о добродѣтели такъ и о бѣдствіи его, принесъ въ даръ щитъ весь золотый и копье все изъ толстаго золота, т. е. у коего было золотое какъ рановище такъ и остроконечіе. Оба

καὶ ἀμφότερα ἐς ἐμὲ ἦν κείμενα ἐν Θήβῃσι, καὶ Θηβαίων ἐν τῷ νηῷ τῷ Ἰσμηνίῳ Ἀπόλλωνος.

55. Τοῖσι δὲ ἄγειν μέλλεσι τῶν Λυδῶν ταῦτα τὰ δῶρα ἐς τὰ ἱρὰ, ἐνετέλλετο ὁ Κροῖσος ἐπειρωτᾶν τὰ χρηστήρια, εἰ στρατεύηται ἐπὶ Πέρσας Κροῖσος, καὶ εἴ τινα στρατὸν ἀνδρῶν προσθέοιτο φίλον. ὡς δὲ ἀπιχόμενοι ἐς τὰ ἀπεπέμφθησαν οἱ Λυδοὶ, ἀνέθεσαν τὰ ἀναθήματα, ἐχρέωντο τοῖσι χρηστηρίοισι, λέγοντες· „Κροῖσος ὁ Λυδῶν „τε καὶ ἄλλων ἐθνέων βασιλεὺς, νομίσας τάδε „μαντήϊα εἶναι μοῦνα ἐν ἀνθρώποισι, ὑμῖν τε ἄξια „δῶρα ἔδωκε τῶν ἐξευρημάτων, καὶ νῦν ὑμέας „ἐπειροτᾶ, εἰ στρατεύηται ἐπι Πέρσας, καὶ εἴ τινα „στρατὸν ἀνδρῶν προσθέοιτο σύμμαχον.“ Οἱ μὲν ταῦτα ἐπειρώτεον. τῶν δὲ μαντηίων ἀμφοτέρων ἐς τωὐτὸ αἱ γνῶμαι συνέδραμον, προλέγουσαι Κροίσῳ, ἢν στρατεύηται ἐπὶ Πέρσας, μεγάλην ἀρχὴν μιν καταλῦσαι. τοὺς δὲ Ἑλλήνων δυνατωτάτους συνεβούλευόν οἱ ἐξευρόντα φίλους προσθέσθαι.

54. Ἐπεί τε δὲ ἀνευρεθέντα τὰ θεοπρόπια ἐπύθετο ὁ Κροῖσος, ὑπερήσθη τε τοῖσι χρηστηρίοισι· πάγχυ τε ἐλπίσας καταλύσειν τὴν Κύρου βασιληίην, πέμψας αὖτις ἐς Πυθὼ, Δελφοὺς δωρέεται, πυθόμενος αὐτῶν τὸ πλῆθος, κατ᾽ ἄνδρα

вклада сіи еще въ мое время хранились въ Θивахъ, во храмѣ Аполлона Исминійскаго.

LIII. На Лидянъ, кои должны были опправиться съ сими дарами, Крезъ возложилъ вопросить прорицалища: *итти ли ему на Персовъ и присоединить ли къ себѣ вспомогательное войско?* Когда посланные прибыли къ своимъ мѣстамъ: то, сложивъ и посвятивъ приношенія, вопросили прорицалища слѣдующими словами: „Крезъ, Царь Лидійцевъ и другихъ народовъ изъ тѣхъ прорицаній, каковыя между людьми находятся, признавая истинными однѣ токмо ваши, приноситъ вамъ дары, достойные глубокихъ познаній вашихъ, и нынѣ вопрошаетъ васъ: итти ли ему на Персовъ и присоединить ли къ себѣ вспомогательное войско?“ Таковы были вопросы посланныхъ. Отвѣты обоихъ прорицалищъ были между собою согласны; они предсказывали, что если Крезъ пойдетъ на Персовъ, то разрушитъ великую державу; въ союзники же совѣтовали присоединить сильнѣйшихъ изъ Эллинскихъ народовъ.

LIV. Отвѣты прорицалищъ Крезу принесены; и онъ весьма имъ обрадовался, совершенно надѣясь разрушить Кирово царство. Онъ опять послалъ къ прорицалищу Пиѳійскому, и, увѣдомясь о числѣ Дельфійцевъ,

δύο ϛατῆρσι ἕκαϛον χρυσοῦ. Δελφοὶ δὲ ἀντὶ τούτων ἔδωσαν Κροίσῳ καὶ Λυδοῖσι προμαντηΐην καὶ ἀτεληΐην καὶ προεδρίην, καὶ ἐξεῖναι τῷ βυλομένῳ αὐτέων γενέσθαι Δελφὸν ἐς ἀεὶ χρόνον.

55. Δωρησάμενος δὲ τοὺς Δελφοὺς ὁ Κροῖσος, ἐχρηϛηριάζετο τὸ τρίτον. ἐπεί τε γὰρ δὴ παρέλαβε τῷ μαντηΐῳ ἀληθηΐην, ἐνεφορέετο αὐτοῦ. ἐπειρώτα δὲ τάδε χρηϛηριαζόμενος, εἰ οἱ πολυχρόνιος ἔϛαι ἡ μυναρχίη. ἡ δὲ Πυθίη οἱ χρᾷ τάδε·

Ἀλλ' ὅταν ἡμίονος βασιλεὺς Μήδοισι γένηται,
Καὶ τότε, Λυδὲ ποδαβρὲ, πολυψηφῖδα παρ' Ἕρμον
Φεύγειν· μηδὲ μένειν, μηδ' αἰδεῖσθαι κακὸς εἶναι.

56. Τούτοισι ἐλθοῦσι τοῖσι ἔπεσι ὁ Κροῖσος πολλόν τι μάλιϛα πάντων ἥσθη, ἐλπίζων ἡμίονον ὑδαμᾶ ἀντ' ἀνδρὸς βασιλεύσειν Μήδων· ὑδ' ὧν αὐτὸς, ὑδὲ οἱ ἐξ αὐτοῦ, παύσεσθαί κοτε τῆς ἀρχῆς. μετὰ δὲ ταῦτα ἐφρόντιζεν ἱσορέων, τοὺς ἂν Ἑλλήνων δυνατωτάτους ἐόντας προϛχτήσαιτο φίλους. ἱσορέων δὲ, εὗρισκε Λακεδαιμονίους καὶ Ἀθηναίους προέχοντας· τοὺς δὲ, τοῦ Ἰωνικοῦ. ταῦτα γὰρ ἦν τὰ προκεχριμένα ἐόντα τὸ ἀρ-

подарилъ по два статера золота на человѣка. За сіе Дельфійцы Крезу и Лидянамъ предоставили первенство въ совѣщаніи съ прорицалищемъ, безповинность и предсѣдательство, и позволили желающему изъ нихъ, навсегда поселиться между Дельфійцевъ.

LV. Одаривъ Дельфовъ, Крезъ въ третій разъ вопрошалъ прорицалище. Испытавъ правдивость онаго, Царь совершенно ему ввѣрился. Онъ велѣлъ вопросить: *долголѣтна ли будетъ его Монархія*; на что Пиѳія отвѣтствовала ему:

Когда мулъ (мѣсто) *содѣлается Царемъ Мидійскимъ; тогда, Лидянинъ нѣжноногій! бѣги къ мѣлкокаменистому Эрму, не оставайся на мѣстѣ и не стыдися быть трусомъ.*

LVI. Сей послѣдній отвѣтъ болѣе всѣхъ прежнихъ обрадовалъ Креза. Онъ думалъ, что никогда мѣсокъ не будетъ, вмѣсто человѣка, царствовать надъ Мидянами; и потому ни онъ, ни потомки его никогда не лишатся престола. Потомъ старался узнать, какой изъ Эллинскихъ народовъ всѣхъ могущественнѣе, съ коимъ бы могъ онъ заключить дружбу. По изслѣдованіи, нашелъ, что Лакедемоняне и Аѳиняне превосходили всѣхъ, одни въ племени Дорійскомъ, другіе въ Іонійскомъ. Въ

χαῖον· τὸ μὲν, Πελασγικόν· τὸ δὲ, Ἑλληνικὸν ἔθος. καὶ τὸ μὲν, ὑδαμῆ κω ἐξεχώρησε. τὸ δὲ, πυλυπλάνητον κάρτα. ἐπὶ μὲν γὰρ Δευκαλίωνος βασιλῆος οἴκεε γῆν τὴν Φθιῶτιν· ἐπὶ δὲ Δώρυ τοῦ Ἕλληνος, τὴν ὑπὸ τὴν Ὄσσαν τε καὶ τὸν Οὔλυμπον χώρην, καλεομένην δὲ Ἱσιαιῶτιν. ἐκ δὲ τῆς Ἱσιαιώτιδος ὡς ἐξανέστη ὑπὸ Καδμείων, οἴκεεν ἐν Πίνδῳ, Μακεδνὸν καλεόμενον. ἐνθεῦτεν δὲ αὖτις ἐς τὴν Δρυοπίδα μετέβη, καὶ ἐκ τῆς Δρυοπίδος ὧδε ἐς Πελοπόννησον ἐλθὸν, Δωρικὸν ἐκλήθη.

57. Ἦν τινα δὲ γλῶσσαν ἵεσαν οἱ Πελασγοὶ, οὐκ ἔχω ἀτρεκέως εἰπεῖν· εἰ δὲ χρεὼν ἐστὶ τεκμαιρόμενον λέγειν τοῖσι νῦν ἔτι ἐοῦσι Πελασγῶν, τῶν ὑπὲρ Τυρσηνῶν Κρηστῶνα πόλιν οἰκεόντων, οἳ ὅμουροί κοτε ἦσαν τοῖσι νῦν Δωριεῦσι καλεομένοισι· οἴκεον δὲ τηνικαῦτα γῆν τὴν νῦν Θεσσαλιῶτιν καλεομένην· καὶ τὴν Πλακίην τε καὶ Σκυλάκην Πελασγῶν οἰκισάντων ἐν Ἑλλησπόντῳ, οἳ σύνοικοι ἐγένοντο Ἀθηναίοισι· καὶ ὅσα ἄλλα Πελασγικὰ ἐόντα πολίσματα τὸ οὔνομα μετέβαλε· εἰ τούτοισι τεκμαιρόμενον δεῖ λέγειν, ἦσαν οἱ Πελασγοὶ βάρβαρον γλῶσσαν ἱέντες. εἰ τοίνυν ἦν καὶ πᾶν τοιοῦτον τὸ Πελασγικὸν, τὸ Ἀτ-

старину народы различались такъ: одни составляли Пеласгійскій, другіе Эллинскій; и одинъ никогда не оставлялъ земли своей, другій многократно и долго скитался: ибо въ царствованіе Девкаліона обиталъ онъ въ Ѳѳіотидѣ; при Дорѣ же сынѣ Эллина, въ странѣ, находящейся у подошвы Оссы и Олимпа, называемой Истіэотидою. Изгнанный изъ Истіэотиды Кадмеянами, поселился въ Пиндѣ и названъ Македномъ. Оттуда перешелъ въ Дріопиду, а изъ Дріопиды наконецъ перешедъ въ Пелопоннисъ, наименованъ народомъ Дорійскимъ.

LVII. Какимъ языкомъ говорили Пеласги, навѣрно сказать не могу. Но если можно судить о семъ по нынѣшнимъ остаткамъ Пеласговъ, живущихъ выше Тирренянъ, въ области Кристонѣ, кои, бывъ нѣкогда сопредѣльными нынѣшнимъ Дорійцамъ, обитали въ странѣ, нынѣ извѣстной подъ именемъ Ѳессаліотиды; если заключать по Пеласгамъ, вдоль Эллиспонта построившимъ Плакію и Скилаку, и обитавшимъ вмѣстѣ съ Аѳинянами; также по другимъ Пеласгійскимъ селеніямъ, имя свое перемѣнившимъ: то Пеласги употребляли языкъ варварскій. Посему, если все племя Пеласговъ было въ таковомъ положеніи: то надобно думать, что Аттиче-

τικὸν ἔθνος, ἐὸν Πελασγικόν, ἅμα τῇ μεταβολῇ τῇ ἐς Ἕλληνας, καὶ τὴν γλῶσσαν μετέμαθε. καὶ γὰρ δὴ ὅτε οἱ Κρησωνιῆται οὐδαμοῖσι τῶν νῦν σφέας περιοικεόντων εἰσὶν ὁμόγλωσσοι, οὔτε οἱ Πλακιηνοὶ σφίσι δὲ, ὁμόγλωσσοι. δηλοῖ τε, ὅτι τὸν ἐνείχαντο χλώσσης χαρακτῆρα μεταβαίνοντες ἐς ταῦτα τὰ χωρία, τοῦτον ἔχουσιν ἐν Φυλακῇ.

58. Τὸ δὲ Ἑλληνικὸν γλώσσῃ μέν, ἐπεί τε ἐγένετο, αἰεί κοτε τῇ αὐτῇ διαχρᾶται, ὡς ἐμοὶ καταφαίνεται εἶναι· ἀποσχισθὲν μέντοι ἀπὸ τοῦ Πελασγικοῦ, ἐὸν ἀσθενὲς, ἀπὸ σμικροῦ τεο τὴν ἀρχὴν ὁρμεώμενον, αὔξηται ἐς πλῆθος τῶν ἐθνέων πολλῶν, μάλιστα προσχεχωρηκότων αὐτῷ καὶ ἄλλων ἐθνέων βαρβάρων συχνῶν. δὴ ὧν ἐμοί τε δοκέει, οὐδὲ τὸ Πελασγικὸν ἔθνος, ἐὸν βάρβαρον, οὐδαμᾶ μεγάλως αὐξηθῆναι.

59. Τούτων δὴ ὧν τῶν ἐθνέων τὸ μὲν Ἀττικὸν κατεχόμενόν τε καὶ διεσπασμένον ἐπυνθάνετο ὁ Κροῖσος ὑπὸ Πεισιστράτου τοῦ Ἱπποκράτεος, τύραννον τὸν χρόνον τυραννεύοντος Ἀθηναίων. Ἱπποκράτει γὰρ, ἐόντι ἰδιώτῃ, καὶ θεωρέοντι τὰ Ὀλύμπια, τέρας ἐγένετο μέγα.

скій народъ, какъ племя Пеласговъ, купно съ обращеніемъ своимъ въ Эллиновъ, отсталъ и отъ языка своего: ибо ни языкъ Криспонцевъ не имѣетъ никакаго сходства съ языкомъ нынѣшнихъ ихъ сосѣдовъ, ни языкъ Плакіанъ; но Криспонцы и Плакіаны совершенно понимаютъ другъ друга. Сіе означаетъ, что они сохранили образъ языка своего, съ переходомъ въ страны, обитаемыя ими нынѣ.

LVIII. Эллинскій же народъ, со времени его бытія, всегда употребляетъ одинъ и тотъ же языкъ, какъ мнѣ кажется. Отдѣлясь отъ Пеласговъ, въ началѣ онъ былъ безсиленъ; но, начавъ съ малаго, возросъ присоединеніемъ къ нему многихъ народовъ, и даже не малаго числа варваровъ. Отъ сего, по мнѣнію моему, произошло то, что Пеласгійскій народъ, какъ варварскій, никогда ~~не имѣлъ~~ особливо великихъ успѣховъ.

LIX. Крезъ узналъ, что изъ сихъ народовъ Аттическій порабощенъ и терзается Писистратомъ, сыномъ Иппократа, въ сіе время господствовавшимъ въ Аѳинахъ. Вотъ какъ достигъ онъ сей власти. Съ Иппократомъ, частнымъ человѣкомъ, когда онъ присутствовалъ на Олимпійскихъ играхъ, случи-

θύσαντος γὰρ αὐτῷ τὰ ἱρὰ, οἱ λέβητες ἐπεσεῶτες, καὶ κρεῶν τε ἐόντες ἔμπλεοι καὶ ὕδατος, ἄνευ πυρὸς ἔζεσαν, καὶ ὑπερέβαλον. Χίλων δὲ ὁ Λακεδαιμόνιος παρατυχὼν, καὶ θεησάμενος τὸ τέρας, συνεβούλευεν Ἱπποκράτει, πρῶτα μὲν γυναῖκα τεκνοποιὸν μὴ ἄγεσθαι ἐς τὰ οἰκία· εἰ δὲ τυγχάνει ἔχων, δεύτερα τὴν γυναῖκα ἐκπέμπειν· καὶ εἴ τις οἱ τυγχάνει ἐὼν παῖς, τοῦτον ἀπείπασθαι. ἔχων ταῦτα παραινέσαντος Χίλωνος πείθεσθαι θέλειν τὸν Ἱπποκράτεα· γενέσθαι οἱ μετὰ ταῦτα τὸν Πεσίστρατον τοῦτον, ὅς, στασιαζόντων τῶν παράλων καὶ τῶν ἐκ τοῦ πεδίου Ἀθηναίων, καὶ τῶν μὲν προεστεῶτος Μεγακλέος τοῦ Ἀλκμαίωνος, τῶν δὲ ἐκ τοῦ πεδίου Λυκούργου Ἀρισολαΐδεω, καταφρονήσας τὴν τυραννίδα, ἤγειρε τρίτην στάσιν. συλλέξας δὲ στασιώτας, καὶ τῷ λόγῳ τῶν ὑπεραχρίων προστὰς, μηχανᾶται τοιάδε. τρωματίσας ἑωυτόν τε καὶ ἡμιόνους, ἤλασεν ἐς τὴν ἀγορὴν τὸ ζεῦγος, ὡς ἐκπεφευγὼς τοὺς ἐχθρούς, οἵ μιν ἐλαύνοντα ἐς ἀγρὸν ἠθέλησαν ἀπολέσαι δῆθεν. ἐδέετό τε τοῦ δήμου φυλακῆς τινος πρὸς αὐτοῦ χυρῆσαι, πρότερον εὐδοκιμήσας ἐν τῇ πρὸς Μεγαρέας γενομένῃ στρατηγίῃ, Νίσαιάν τε ἑλὼν, καὶ

лось чудо великое. Во время приношенія жертвы, коплы, наполненные мясами и водою, нагрѣлись безъ огня и когда закипѣли, изъ нихъ выбѣжало то, что въ нихъ находилось. Пришедшій на тотъ разъ случайно Хилонъ Лакедемонянинъ, увидѣвъ сіе чудо, совѣтовалъ Иппократу, во первыхъ, чтобы онъ не женился на такой женѣ, которая могла бы ему родить дѣтей; во вторыхъ, если онъ женатъ уже, то жену отослалъ бы, и если уже есть у него сынъ, отрекся бы отъ него. Но Иппократъ совѣта Хилонова не послушался, и родился у него потомъ Писистратъ. Во время мятежа приморскихъ и напольныхъ Аѳинянъ, изъ коихъ первыми предводительствовалъ Мегаклъ, сынъ Алкмеона, а послѣдними Ликургъ, сынъ Аристолаевъ, Писистратъ, вознамѣрясь похитить власть, возбудилъ третій мятежъ. Собравъ другихъ крамольниковъ, подъ видомъ охраненія нагорныхъ жителей, онъ выдумалъ слѣдующую хитрость. Поранивъ себя и мосѣковъ, погналъ сей скотъ на торжище, какъ бы бѣжавъ отъ непріятелей, которые будто бы хотѣли убить его, когда ѣхалъ онъ въ деревню, и просилъ у народа себѣ стражи, снискавши уже прежде уваженіе взятіемъ Нисеи подъ своимъ предводитель-

ἄλλα ὑποδεξάμενος μεγάλα ἔργα. ὁ δὲ δῆμος ὁ τῶν Ἀθηναίων ἐξαπατηθεὶς, ἔδωκέ οἱ τῶν ἁσῶν καταλέξας ἄνδρας τέτρας, οἳ δορυφόροι μὲν οὐκ ἐγένοντο Πεισιστράτῳ, κορυνηφόροι δέ. ξύλων γὰρ κορύνας ἔχοντες εἵποντό οἱ ὄπισθεν. συνεπαναστάντες δὲ οὗτοι ἅμα Πεισιστράτῳ, ἔσχον τὴν ἀκρόπολιν. ἔνθα δὴ ὁ Πεισίστρατος ἦρχεν Ἀθηναίων, οὔτε τιμὰς τὰς ἐούσας συνταράξας, οὔτε θέσμια μεταλλάξας· ἐπί τε τοῖσι κατεστεῶσι ἔνεμε τὴν πόλιν κοσμέων καλῶς τε καὶ εὖ.

60. Μετὰ δὲ χρόνον πολλὸν τοὐντεῦθεν φρονήσαντες οἵ τε τῦ Μεγακλέος σασιῶται καὶ οἱ τοῦ Λυκούργου, ἐξελαύνουσί μιν. οὕτω μὲν Πεισίστρατος ἔσχε τοπρῶτον Ἀθήνας, καὶ τὴν τυραννίδα οὔκω κάρτα ἐρριζωμένην ἔχων, ἀπέβαλεν. οἱ δὲ ἐξελάσαντες Πεισίστρατον, αὖτις ἐκ νέης ἐπ' ἀλλήλοισιν ἐστασίασαν. περιελαυνόμενος δὲ τῇ στάσει ὁ Μεγακλέης, ἐπεκηρυκεύετο Πεισιστράτῳ, εἰ βούλοιτό οἱ τὴν θυγατέρα ἔχειν γυναῖκα ἐπὶ τῇ τυραννίδι. ἐνδεξαμένου δὲ τὸν λόγον καὶ ὁμολογήσαντος ἐπὶ τούτοισι Πεισιστράτου, μηχανῶνται δὴ ἐπὶ τῇ κατόδῳ

ствомъ на войнѣ противъ Мегарянъ, и отличась другими великими дѣлами. Аѳинскій народъ, такимъ образомъ обманутый, далъ ему тѣлохранителей, избралъ ихъ изъ граждан. Тѣлохранители сіи были не копьеносцы Писистратовы, но булавоносцы; ибо слѣдовали за нимъ съ деревянными булавами. Сія спража, возставъ купно съ Писистратомъ, овладѣла крѣпостію. Чрезъ сіе Писистратъ получилъ власть надъ Аѳинянами, не попревоживъ ни чиновъ тогда бывшихъ, ни законовъ не перемѣнивъ; но по законамъ, прежде его постановленнымъ, управлялъ городомъ справедливо и благоразумно.

LX. Спустя же нѣсколько времени, мятежники Мегакла согласясь съ мятежниками Ликурговыми, прогнали его. Такимъ-то образомъ Писистратъ въ первый разъ овладѣлъ Аѳинами и лишился власти, не довольно еще укоренившейся. Однакожъ изгнавшіе его немедленно снова между собою поссорились; и Мегаклъ, упомясь мятежами, предложилъ чрезъ глашатая Писистрату, не хочетъ ли онъ, для возстановленія своей власти, жениться на его дочери. По принятіи Писистратомъ условій Мегакла, они для возвращенія Писистрата, употребили самую глупую, по

νύντι, δῶρα ἐκπέμπει ὁ βασιλεὺς ἀνὰ πᾶν ἔτος. τὸ πολλὸν δ' ἡγέαται ἰσχυρὸν εἶναι. παιδεύουσι δὲ τοὺς παῖδας, ἀπὸ πενταέτεος ἀρξάμενοι μέχρι εἰκοσαέτεος, τρία μοῦνα, ἱππεύειν, καὶ τοξεύειν, καὶ ἀληθίζεσθαι. πρὶν δὲ ἢ πενταέτης γένηται, οὐκ ἀπικνέεται ἐς ὄψιν τῷ πατρὶ, ἀλλὰ παρὰ τῇσι γυναιξὶ δίαιταν ἔχει. τοῦδε εἵνεκα τοῦτο οὕτω ποιέεται, ἵνα ἢν ἀποθάνῃ τρεφόμενος, μηδεμίην ἄσην τῷ πατρὶ προσβάλλῃ.

137. Αἰνέω μέν νυν τόνδε τὸν νόμον· αἰνέω δὲ καὶ τόνδε, τὸ μὴ μιῆς αἰτίης εἵνεκα μήτε αὐτὸν τὸν βασιλέα μηδένα Φονεύειν, μήτε τῶν ἄλλων Περσέων μηδένα τῶν ἑωυτῷ οἰκετέων ἐπὶ μιῇ αἰτίῃ ἀνήκεστον πάθος ἔρδειν. ἀλλὰ λογισάμενος ἢν εὐρίσκῃ πλέω τε καὶ μέζω τὰ ἀδικήματα ἐόντα τῶν ὑπουργημάτων, οὕτω τῷ θυμῷ χρᾶται. ἀποκτεῖναι δὲ οὐδένα κω λέγουσι τὸν ἑωυτῷ πατέρα, οὐδὲ μητέρα. ἀλλὰ ὁκόσα ἤδη τοιαῦτα ἐγένετο, πᾶσαν ἀνάγκην Φασὶ ἀναζητεόμενα ταῦτα ἀνευρεθῆναι ἤτοι ὑποβολιμαῖα ἐόντα, ἢ μοιχίδια· οὐ γὰρ δή Φασί οἰκὸς εἶναι τόν γε ἀληθέως τοκέα ὑπὸ τῷ ἑωυτῷ παιδὸς ἀποθνήσκειν.

гихъ сыновъ; наиболѣе же ихъ произведшему Государь ежегодно посылаетъ подарки; таковое множество они почитаютъ знакомъ крѣпости силъ. Дѣтей, начиная съ пяти лѣтъ до двадцати, обучаютъ только тремъ предмѣтамъ: ѣздить верхомъ, стрѣлять, и говорить правду. До пяти лѣтъ сынъ не является на глаза отцу, но живетъ у женщинъ. Сіе дѣлается для того, чтобъ не причинить отцу никакой горести, если дитя умретъ въ этомъ возрастѣ.

CXXXVII. Хвалю сіе установленіе; хвалю и то, что за одну вину какъ самъ Государь не казнитъ смертію, такъ и никто изъ Персовъ не можетъ своему служителю нанести невозвратное наказаніе; но предается гнѣву тогда уже, когда по соображеніи найдетъ, что преступленія множествомъ и важностію превышаютъ заслуги виновнаго. Сказываютъ, никогда не случалось, чтобы кто убилъ отца своего или мать. Когда же сіе случится, то они говорятъ: по тщательномъ изслѣдованіи откроется, что сдѣлалъ сіе преступленіе или подкидышъ или незаконнорожденный: ибо невѣроятно, говорятъ они, чтобы настоящій родитель могъ быть лишенъ жизни отъ собственаго своего сына.

138. Ἄσσα δέ σφι ποιέειν οὐκ ἔξεσι, ταῦτα οὐδὲ λέγειν· ἔξεσι. αἴσχιστον δὲ αὐτοῖσι τὸ ψεύδεσθαι νενόμισαι· δεύτερα δὲ, τὸ ὀφείλειν χρέος· πολλῶν μὲν καὶ ἄλλων εἵνεκα, μάλιστα δὲ ἀναγκαίην φασὶ εἶναι, τὸν ὀφείλοντα καί τι ψεῦδος λέγειν. ὅς ἂν δὲ τῶν ἀστῶν λέπρην ἢ λεύκην ἔχῃ, ἐς πόλιν οὗτος οὐ κατέρχεται, οὐδὲ συμμίσγεται τοῖσι ἄλλοισι Πέρσῃσι. φασὶ δέ μιν ἐς τὸν ἥλιον ἁμαρτόντά τι, ταῦτ' ἔχειν. ξεῖνον δὲ πάντα, τὸν λαμβανόμενον ὑπὸ τουτέων, ἐξελαύνουσι ἐκ τῆς χώρης· πολλοὶ καὶ τὰς λευκὰς περιστερὰς, τὴν αὐτὴν αἰτίην ἐπιφέροντες. ἐς ποταμὸν δὲ οὔτε ἐνουρέουσι, οὔτε ἐμπτύουσι, οὐ χεῖρας ἐναπονίζονται, οὐδὲ ἄλλον οὐδένα περιορῶσι, ἀλλὰ σέβονται ποταμοὺς μάλιστα.

139. Καὶ τόδε ἄλλό σφι ὧδε συμπέπτωκε γίνεσθαι, τὸ Πέρσας μὲν αὐτοὺς λέληθε, ἡμέας μέν τοι οὔ. τὰ οὐνόματά σφι ἐόντα ὁμοῖα τοῖσι σώμασι καὶ τῇ μεγαλοπρεπείῃ, τελευτῶσι πάντα ἐς τωὐτὸ γράμμα, τὸ Δωριέες μὲν Σὰν καλέουσι, Ἴωνες δὲ Σίγμα. ἐς τοῦτο διζήμενος εὑρήσεις τελευτῶντα τῶν Περσέων τὰ οὐνόματα, οὐ τὰ μὲν, τὰ δ' οὔ, ἀλλὰ πάντα ὁμοίως.

CXXXVIII. Что не позволено имъ дѣлать, то и говорить не позволяется. Лгать почитаютъ они гнуснѣйшимъ порокомъ; вторымъ послѣ того, быть въ долгахъ, какъ по многимъ другимъ причинамъ, такъ наипаче потому, что должникъ всегда вынуждается говорить что нибудь ложное. Кто зараженъ нроказою или шелудями, тотъ не входитъ въ городъ и не имѣетъ съ другими обращенія. Персы думаютъ, что таковая болѣзнь есть слѣдствіемъ какаго либо преступленія противъ Солнца; а иностранца, страждущаго сею болѣзнію, выгоняютъ изъ своей земли. Нѣкоторые прогоняютъ даже бѣлыхъ голубей, почитая ихъ страждущими сею же болѣзнію. Они въ рѣку не мочатся, не плюютъ, не моютъ въ нихъ рукъ и другимъ того не позволяютъ; но почитаютъ рѣки священными.

CXXXIX. У Персовъ и другое достойно вниманія, что для нихъ не замѣтно, но отъ насъ не укрылось. Всѣ имена ихъ, соотвѣтствующія тѣламъ ихъ и великолѣпію, оканчиваются на одну и ту же букву, которую Дорійцы называютъ *Санъ*, а Іоняне *Сигма*. Сею буквою, если вникнуть въ имена Персовъ, оканчиваются не только нѣкоторыя изъ нихъ, но всѣ подобно.

140. Ταῦτα μὲν ἀτρεκέως ἔχω περὶ αὐτῶν εἰδὼς εἰπεῖν. τάδε μέντοι ὡς κρυπτόμενα λέγεται, καὶ οὐ σαφηνέως περὶ τοῦ ἀποθανόντος· ὡς οὐ πρότερον θάπτεται ἀνδρὸς Πέρσεω ὁ νέκυς, πρὶν ἄν ὑπ' ὄρνιθος ἢ κυνὸς ἑλκυσθῆναι. μάγος μὲν γὰρ ἀτρεκέως οἶδα ταῦτα ποιέοντας· ἐμφανέως γὰρ δὴ ποιεῦσι. καταχηρώσαντες δὴ ὧν τὸν νέκυν Πέρσαι, γῇ κρύπτουσι. μάγοι δὲ κεχωρίδαται πολλὸν τῶν τε ἄλλων ἀνθρώπων, καὶ τῶν ἐν Αἰγύπτῳ ἱρέων. οἱ μὲν γὰρ ἁγνεύσι ἔμψυχον μηδὲν κτείνειν, εἰ μὴ ὅσα θύουσι· οἱ δὲ δὴ μάγοι αὐτοχειρίῃ πάντα, πλὴν κυνὸς καὶ ἀνθρώπου, κτείνουσι. καὶ ἀγῶνισμα τοῦτο μέγα ποιεῦνται, κτείνοντες ὁμοίως μύρμηκάς τε καὶ ὄφεις, καὶ τἄλλα ἑρπετὰ καὶ πετεινά. καὶ ἀμφὶ μὲν τῷ νόμῳ τούτῳ ἐχέτω, ὡς καὶ ἀρχὴν ἐνομίσθη. ἄνειμι δὲ ἐπὶ τὸν πρότερον λόγον.

141. Ἴωνες δὲ καὶ Αἰολέες, ὡς οἱ Λυδοὶ τάχιστα κατεδράφατο ὑπὸ Περσέων, ἔπεμπον ἀγγέλους ἐς Σάρδις παρὰ Κῦρον, ἐθέλοντες ἐπὶ τοῖσι αὐτοῖσι εἶναι τοῖσι καὶ Κροίσῳ ἦσαν κα-

CXL. Сказанное мною о Персахъ до сего мѣста я знаю достовѣрно; но о другихъ обычаяхъ, скрытно и неясно разсказываемыхъ, того сказать не могу. Такъ, напримѣръ, говорятъ, что умершаго Персіянина не прежде погребаютъ, какъ по растерзаніи его птицею или собакою. Что у волхвовъ сіе водится, я знаю заподлинно; ибо они дѣлаютъ это открыто. Персы тѣло умершаго прежде обмазываютъ воскомъ, а потомъ уже кладутъ въ землю. Но волхвы многимъ различествуютъ какъ отъ другихъ людей, такъ и отъ Египетскихъ жрецовъ. Сіи почитаютъ беззаконіемъ, убивать что либо живое, кромѣ приносимаго на жертву. Волхвы же своеручно убиваютъ все, кромѣ собаки и человѣка. Они почитаютъ даже важнымъ подвигомъ, убивать муравьевъ, змѣй и другихъ пресмыкающихся и пернатыхъ. Но какова бы ни была настоящая причина сего обычая; сказаннаго мною объ ономъ довольно. Возвращаюсь къ прежнему повѣствованію.

CXLI. Коль скоро Лидійцы покорены были Персами, Іоняне и Эоляне послали къ Киру въ Сарды пословъ съ предложеніемъ, что они желаютъ быть его подданными на тѣхъ же условіяхъ, на каковыхъ подвластны были Крезу. Но Киръ, выслушавъ ихъ требованія,

τήχοοι. ὁ δὲ, ἀκούσας αὐτέων τὰ προίσχοντο, ἔλεξέ σφι λόγον, ἄνδρα Φὰς αὐλητὴν ἰδόντα ἰχθῦς ἐν τῇ θαλάσσῃ, αὐλέειν, δοκέοντά σφεας ἐξελεύσεσθαι ἐς γῆν· ὡς δὲ ψευσθῆναι τῆς ἐλπίδος, λαβεῖν ἀμφίβληστρον, καὶ περιβαλεῖν τε πλῆθος πολλὸν τῶν ἰχθύων καὶ ἑξειρύσαι. ἰδόντα δὲ παλλομένους, εἰπεῖν ἄρα αὐτὸν πρὸς τοὺς ἰχθῦς· »Παύεσθέ μοι ὀρχεόμενοι, ἐπεὶ οὐκ ἐμέο »αὐλέοντος ἠθέλετε ἐκβαίνειν ὀρχεόμενοι.« Κῦρος μὲν τοῦτον τὸν λόγον τοῖσι Ἴωσι καὶ τοῖσι Αἰολεῦσι τῶνδε εἵνεκα ἔλεξε, ὅτι δὴ οἱ Ἴωνες πρότερον αὐτῷ Κύρῳ δεηθέντος δι' ἀγγέλων ἀπίεσθαί σφεας ἀπὸ Κροίσου, οὐκ ἐπείθοντο· τότε δὲ κατεργασμένων τῶν πρηγμάτων, ἦσαν ἑτοῖμοι πείθεσθαι Κύρῳ. ὁ μὲν δὴ, ὀργῇ ἐχόμενος, ἔλεγέ σφι τάδε. Ἴωνες δὲ ὡς ἤκουσαν τοῦτων εἰρημένων εἰς τὰς πόλιας, τείχεά τε περιεβάλλοντο ἕκαστοι, καὶ συνελέγοντο ἐς Πανιώνιον οἱ ἄλλοι, πλὴν Μιλησίων· πρὸς μούνους γὰρ τούτους ὅρκιον Κῦρος ἐποιήσατο, ἐπ' οἷσί περ ὁ Λυδός. τοῖσι δὲ λοιποῖσι Ἴωσι ἔδοξε κοινῷ λόγῳ πέμπειν ἀγγέλους ἐς Σπάρτην, δεησομένους Ἴωσι τιμωρέειν.

142. Οἱ δὲ Ἴωνες οὗτοι, τῶν καὶ τὸ Πανιώνιόν ἐστι, τοῦ μὲν οὐρανοῦ καὶ τῶν ὡρέων ἐν τῷ καλλίστῳ ἐτύγχανον ἱδρυσάμενοι πόλιας πάν-

разсказалъ имъ слѣдующую баснь. „Нѣкоторый игрокъ на свирѣли, увидѣвши въ морѣ рыбъ, началъ играть, думая, что онѣ выдутъ на берегъ. Но обманувшись въ своей надеждѣ, взялъ сѣть, забросилъ ее въ воду и вытащилъ множество рыбы. Увидѣвъ же, что онѣ прыгаютъ, сказалъ имъ: перестаньте теперь плясать; потому что, когда игралъ я на свирѣли, вы не хотѣли выпти изъ воды, чтобъ плясать.“ Киръ разсказалъ Іонянамъ и Эолянамъ эту баснь потому, что Іоняне прежде, когда онъ посылалъ къ нимъ гонцовъ съ предложеніемъ, чтобы они отъ Креза отложились, на то не согласились; а готовыми покориться Киру сдѣлались тогда, когда дѣла его кончились успѣшно. Онъ во гнѣвѣ имъ сіе отвѣтствовалъ. Когда отвѣтъ сей сдѣлался извѣстнымъ въ городахъ Іонійскихъ; немедленно принялись укрѣплять стѣны оныхъ и всѣ собрались на совѣтъ въ Паніоніонъ, кромѣ Милисіянъ; ибо съ ними одними Киръ заключилъ договоръ на такихъ условіяхъ, какъ Крезъ. Въ семъ совѣщаніи Іоняне положили послать въ Спартуословъ просить помощи.

CXLII. Іоняне, коимъ принадлежитъ и Паніоніонъ, построили города свои подъ самымъ чистѣйшимъ небомъ и въ наилучшемъ кли-

τῶν ἀνθρώπων τῶν ἡμεῖς ἴδμεν. οὔτε γὰρ τὰ ἄνω αὐτῆς χωρία τωὐτὸ ποιέει τῇ Ἰωνίῃ, οὔτε τὰ κάτω, οὔτε τὰ πρὸς τὴν ἠῶ, οὔτε τὰ πρὸς τὴν ἑσπέρην· τὰ μὲν, ὑπὸ τῦ ψυχρῦ τε καὶ ὑγρῦ πιεζόμενα· τὰ δὲ, ὑπὸ τοῦ θερμοῦ τε καὶ αὐχμώδεος. γλῶσσαν δὲ ἁ τὴν· αὐτὴν ἕτοι νομίκασι, ἀλλὰ τρόπυς τέσσερας παραγωγέων. Μίλητος μὲν αὐτέων πρώτη κέεται πόλις πρὸς μεσαμβρίην· μετὰ δὲ, Μυῦς τε καὶ Πριήνη· αὗται μὲν ἐν τῇ Καρίῃ κατοίκηνται, κατὰ ταὐτὰ διαλεγόμεναί σφι. αἱ δὲ ἐν τῇ Λυδίῃ· Ἔφεσος, Κολοφὼν, Λέβεδος, Τέως, Κλαζομεναὶ, Φώκαια· αὗται δὲ αἱ πόλιες τῇσι πρότερον λεχθείσῃσι ὁμολογέυσι κατὰ γλῶσσαν οὐδέν, σφὶ δὲ ὁμοφωνέυσι. ἔτι δὲ τρεῖς ὑπόλοιποι Ἰάδες πόλιες, τῶν αἱ δύο μὲν νήσυς οἰκέαται, Σάμον τε καὶ Χῖον· ἡ δὲ μία ἐν τῇ ἠπείρῳ ἵδρυται, Ἐρυθραῖ. Χῖοι μέν νυν καὶ Ἐρυθραῖοι κατὰ τωὐτὸ διαλέγονται, Σάμιοι δὲ ἐπ' ἐωυτῶν μοῦνοι. ἕτοι χαρακτῆρες γλώσσης τέσσερες γίνονται.

143. Τέτων δὴ ὧν τῶν Ἰώνων οἱ Μιλήσιοι μὲν ἦσαν ἐν σκέπῃ τοῦ Φόβυ, ὅρκιον ποιησάμενοι· τοῖσι δὲ αὐτέων νησιώτῃσι ἦν δεινὸν οὐδέν. οὔτε γὰρ Φοίνικες ἦσάν κω Περσέων κατήκοοι, οὔτε αὐτοὶ οἱ Πέρσαι ναυβάται. ἀπε-

матѣ, какой только намъ извѣстенъ. Съ Іоніею не можно сравнивать ни странъ, лежащихъ къ Сѣверу или Югу, ни тѣхъ, кои простираются къ Востоку или Западу. Однѣ изъ нихъ подвержены стужѣ и сыростіи; другія страждутъ отъ зноя и засухи. Они употребляютъ языкъ не одинакій, но образъ наклоненія словъ имѣетъ четыре разности. Первый изъ ихъ городовъ Милетъ, лежащій къ Югу, потомъ, Міунтъ и Пріина, находящіеся въ Каріи, употребляютъ одну изъ сихъ разностей. Въ Лидіи: Эфесъ, Колофонъ, Леведъ, Теосъ, Клазомены, Фокея съ прежде упомянутыми городами въ языкѣ ничего не имѣютъ общаго; но между собою сходны въ оном. Изъ прочихъ трехъ городовъ Іонійскихъ, два: Самосъ и Хіо находятся на островахъ; а третій, Эриѳрея, на матерой землѣ. Хіосцы и Эриѳреяне употребляютъ одно нарѣчіе; а Самосцы имѣютъ свое особенное. Таковы суть четыре отличительные признака языка.

CXLIII. Изъ числа Іонянъ Милисіяне, какъ заключившіе съ Киромъ союзъ, находились въ безопасности; ничего не боялись и тѣ изъ нихъ, кои обитали на островахъ; ибо Финикіяне тогда не были еще подвластны Персамъ и Персы мореходствомъ не занимались. Отдѣлились же сіи Іоняне отъ другихъ не

σχίσθησαν δὲ ἀπὸ τῶν ἄλλων Ἰώνων οὗτοι κατ' ἄλλο μὲν οὐδέν, ἀσθενέος δὲ ἐόντος τοῦ παντὸς τότε Ἑλληνικοῦ γένεος, πολλῷ δὲ ἦν ἀσθενέσατον τῶν ἐθνέων τὸ Ἰωνικόν, καὶ λόγῳ ἐλαχίστῳ. ὅτι γὰρ μὴ Ἀθῆναι, ἦν οὐδὲν ἄλλο πόλισμα λόγιμον. οἱ μὲν νυν ἄλλοι Ἴωνες καὶ Ἀθηναῖοι ἔφυγον τοὔνομα, οὐ βουλόμενοι Ἴωνες κεκλῆσθαι· ἀλλὰ καὶ νῦν φαίνονταί μοι οἱ πολλοὶ αὐτέων ἐπαισχύνεσθαι τῷ οὐνόματι. αἱ δὲ δυώδεκα πόλιες αὗται τῷ τε οὐνόματι ἠγάλλοντο, καὶ ἱρὸν ἱδρύσαντο ἐπὶ σφέων αὐτέων, τῷ οὔνομα ἔθεντο Πανιώνιον· ἐβουλεύσαντο δὲ αὐτῷ μεταδοῦναι μηδαμοῖσι ἄλλοισι Ἰώνων. οὐδ' ἐδεήθησαν δὲ οὐδαμοὶ μετασχεῖν, ὅτι μὴ Σμυρναῖοι.

144. Κατάπερ οἱ ἐκ τῆς Πενταπόλιος νῦν χώρης Δωριέες, πρότερον δὲ Ἑξαπόλιος τῆς αὐτῆς ταύτης καλεομένης, φυλάσσονται ὧν μηδαμοὺς ἐσδέξασθαι τῶν προσοίκων Δωριέων ἐς τὸ Τριοπικὸν ἱρόν· ἀλλὰ καὶ σφέων αὐτέων τοὺς περὶ τὸ ἱρὸν ἀνομήσαντας ἐξεκλῄσαν τῆς μετοχῆς. ἐν γὰρ τῷ ἀγῶνι τῷ Τριοπίῳ Ἀπόλλωνος ἐτίθεσαν τοπάλαι τρίποδας χαλκέους τοῖσι νικῶσι· καὶ τούτους χρῆν τοὺς λαμβάνοντας ἐκ τοῦ ἱροῦ μὴ ἐκφέρειν, ἀλλ' αὐτοῦ ἀνατιθέναι τῷ

по иной какой причинѣ, какъ потому, что, поелику весь Эллинскій родъ былъ тогда слабъ, то народъ Іонійскій былъ всѣхъ безсильнѣе и маловажнѣе. Кромѣ Аѳинъ, не было другаго города значительнаго. Посему какъ Аѳиняне, такъ и другіе Іоняне избѣгали самаго имени и не хотѣли называться Іонянами; даже и нынѣ, кажется мнѣ, многіе изъ нихъ стыдятся сего имени. Но двенадцать вышеупомянутыхъ городовъ съ удовольствіемъ назывались симъ именемъ и построили себѣ особо храмъ, который наименовали *Паніоніономъ*, и опредѣлили, чтобы никто изъ другихъ Іонянъ въ семъ храмѣ не участвовалъ. Впрочемъ, никто сего участія и не просилъ, исключая гражданъ Смирны.

CXLIV. Равнымъ образомъ и Дорійцы, обитающіе въ странѣ, нынѣ называемой Пентаполемъ, а прежде называвшейся Эксаполемъ, не принимаютъ въ Тріопійскій храмъ свой никого изъ сопредѣльныхъ имъ Дорійцевъ; даже и изъ своего числа исключили тѣхъ, кои храмомъ симъ поругались. По древнему обычаю, на играхъ, празднуемыхъ въ честь Аполлону Тріопійскому, дарили побѣдителямъ мѣдные треножники; но получившій оные не могъ выносить ихъ изъ храма, а долженъ былъ посвятить богу. Одинъ

θεῷ. ἀνὴρ ὢν Ἁλικαρνησεὺς, τῷ οὔνομα ἦν Ἀγασικλέης, νικήσας, τὸν νόμον κατηλόγησε· Φέρων δὲ πρὸς τὰ ἑωϋτοῦ οἰκία προσεπασσάλευσε τὸν τρίποδα. διὰ ταύτην τὴν αἰτίην αἱ πέντε πόλιες, Λίνδος, καὶ Ἰηλυσσός τε καὶ Κάμειρος, καὶ Κῶς τε καὶ Κνίδος, ἐξεκλήϊσαν τῆς μετοχῆς τὴν ἕκτην πόλιν Ἁλικαρνησόν. τούτοισι μέν νυν ταύτην τὴν ζημίην οὗτοι ἐπέθηκαν.

145. Δοκέουσι δέ μοι δυώδεκα πόλιας ποιήσασθαι οἱ Ἴωνες, καὶ οὐκ ἐθελῆσαι πλεῦνας ἐσδέξασθαι, τοῦδε εἵνεκα, ὅτι καὶ ὅτε ἐν Πελοποννήσῳ οἴκεον, δυώδεκα ἦν αὐτῶν μέρεα, κατάπερ νῦν Ἀχαιῶν, τῶν ἐξελασάντων Ἴωνας, δυώδεκά ἐσι μέρεα. Πελλήνη μέν τε πρώτη πρὸς Σικυῶνος· μετὰ δὲ, Αἴγειρα, καὶ Αἰγαί· ἐν τῇ Κρᾶθις ποταμὸς ἀέννααός ἐσι, ἀπὸ τοῦ ὁ ἐν Ἰταλίῃ ποταμὸς τὸ οὔνομα ἔσχε· καὶ Βοῦρα, καὶ Ἑλίκη, (ἐς τὴν κατέφυγον Ἴωνες ὑπὸ Ἀχαιῶν μάχῃ ἐσσωθέντες), καὶ Αἴγιον, καὶ Ῥύπες, καὶ Πατρέες, καὶ Φαρέες, καὶ Ὤλενος, ἐν τῷ Πεῖρος ποταμὸς μέγας ἐσί· καὶ Δύμη, καὶ Τριταιέες, οἳ μοῦνοι τουτέων μεσόγαιοι οἰκέουσι.

146. Ταῦτα δυώδεκα μέρεα νῦν Ἀχαιῶν ἐσὶ, καὶ τότε γε Ἰώνων ἦν. τουτέων δὴ εἵνεκα

Аликарнасскій гражданинъ, по имени Агасиклей, одержавшій на сихъ играхъ побѣду, преступилъ сей законъ, унесъ треножникъ къ себѣ въ домъ и повѣсилъ его на стѣнѣ. Въ наказаніе за сію вину пять городовъ: Линдъ, Галиссъ, Камиръ, Косъ и Книдъ исключили шестый городъ Аликарнассъ изъ своего сообщества.

CXLV. Двенадцать округовъ учредили Іоняне и не хотѣли болѣе принять въ свое сообщество, кажется мнѣ, потому, что когда жили они и въ Пелопоннисѣ, раздѣлены были на столько же округовъ, точно такъ, какъ нынѣ раздѣлены на двенадцать частей Ахелне, кои Іонянъ выгнали. Первый изъ нихъ Пеллина близъ Сикіона; потомъ Эгира и Эги, гдѣ протекаетъ никогда неизсякающая рѣка Краѳисъ, отъ коея получила наименованіе и рѣка, протекающая въ Ипаліи; Вура, Элика, въ которую Іоняне убѣжали отъ Ахеянъ, бывъ ими побѣждены, Эгіонъ, Рифейцы, Напряне, Фарейцы, Оленъ, въ коемъ течетъ великая рѣка Пиръ; наконецъ Дима и Тритеяне, кои одни изъ нихъ обитаютъ въ средиземіи.

CXLVI. Сіи двенадцать округовъ нынѣ принадлежатъ Ахеянамъ; тогда же принадлежали Іонянамъ; по сей причинѣ и Іоняне

καὶ οἱ Ἴωνες δυώδεκα πόλιας ἐποιήσαντο· ἐπεὶ ὡς γέ τι μᾶλλον οὗτοι Ἴωνές εἰσι τῶν ἄλλων Ἰώνων, ἢ κάλλιόν τι γεγόνασι, μωρίη πολλὴ λέγειν· τῶν Ἄβαντες μὲν ἐξ Εὐβοίης εἰσὶ οὐχ ἐλαχίστη μοῖρα, τοῖσι Ἰωνίης μέτα οὐδὲ τοῦ οὐνόματος οὐδέν· Μινύαι δὲ Ὀρχομένιοι ἀναμεμίχαται, καὶ Καδμεῖοι, καὶ Δρύοπες, καὶ Φωκέες ἀποδάσμιοι, καὶ Μολοσσοὶ, καὶ Ἀρκάδες Πελασγοὶ, καὶ Δωριέες Ἐπιδαύριοι, ἄλλά τε ἔθνεα πολλὰ ἀναμεμίχαται· οἱ δὲ αὐτέων, ἀπὸ τοῦ πρυτανηίου τοῦ Ἀθηναίων ὁρμηθέντες, καὶ νομίζοντες γενναιότατοι εἶναι Ἰώνων, οὗτοι δὲ ὑγυναῖκας ἠγάγοντο ἐς τὴν ἀποικίην, ἀλλὰ Καείρας ἔσχον, τῶν ἐφόνευσαν τοὺς γονέας. διὰ τοῦτον δὲ τὸν φόνον αἱ γυναῖκες αὗται, νόμον θέμεναι, σφίσι αὐτῇσι ὅρκους ἐπήλασαν, καὶ παρέδοσαν τῇσι θυγατράσι, μή κοτε ὁμοσιτῆσαι τοῖσι ἀνδράσι, μηδὲ ὑνόματι βῶσαι τὸν ἑωυτῆς ἄνδρα, τοῦδε εἵνεκα, ὅτι ἐφόνευσαν σφέων τοὺς πατέρας καὶ ἄνδρας καὶ παῖδας, καὶ ἔπειτεν ταῦτα ποιήσαντες, αὐτῇσι συνοίκεον. ταῦτα δὲ ἦν γινόμενα ἐν Μιλήτῳ.

147. Βασιλέας δὲ ἐσήσαντο, οἱ μὲν αὐτῶν, Λυκίους, ἀπὸ Γλαύκου τοῦ Ἱππολόχου γεγονότας·

построили двенадцать городовъ. Весьма глупо было бы утверждать, что сіи послѣдніе народы суть больше Іоняне, нежели другіе или произошли отъ благороднѣйшаго поколѣнія. Ибо въ числѣ ихъ находится не малая часть Аванпювъ изъ Эвбеи, кои ничего даже въ имени не имѣютпъ съ ними общаго. Съ ними смѣшались потомъ Миніяне, Орхоменцы, Кадмеяне, Дріопы, Фокеяне, отдѣлившіеся отъ своего отечества, Молоссы, Аркадяне Пеласгійскіе, Дорійцы Эпидаврскіе и многіе другіе народы. Вышедшіе же изъ Аѳинскаго Пританея и почитающіеся благороднѣйшими изъ Іонянъ женъ съ собою въ поселеніе не привели, но жили съ Каирянками, коихъ убили они родителей. За сіе убійство жены постановили законъ, подпвердивъ оный клятвою, и предали дочерямъ своимъ, никогда не ѣсть вмѣстѣ съ мужьями своими и не называть ихъ по имени. Симъ образомъ сохраняютъ они въ памяпи злодѣйство вступившихъ съ ними въ супружество не прежде, какъ по умерщвленіи ихъ отцовъ, мужей и дѣтей. Вотъ происшествія, случившіяся въ Милетѣ.

CXLVII. Царями надъ собою поставили одни изъ нихъ Ликіянъ, происходившихъ отъ Главка, сына Ипполохова; другіе избрали ихъ

οἱ δ᾽, Καύκωνας Πυλίους, ἀπὸ Κόδρου τοῦ Μελάνθου· οἱ δ᾽, καὶ συναμφοτέρους. ἀλλὰ γὰρ περιέχονται τοῦ οὐνόματος μᾶλλόν τι τῶν ἄλλων Ἰώνων. ἔσωσαν δὲ καὶ οἱ καθαρῶς γεγονότες Ἴωνες· εἰσὶ δὲ πάντες Ἴωνες, ὅσοι ἀπ᾽ Ἀθηνῶν γεγόνασι, καὶ Ἀπατούρια ἄγουσι ὁρτήν. ἄγουσι δὲ πάντες, πλὴν Ἐφεσίων καὶ Κολοφωνίων· ἕτοι γὰρ μοῦνοι Ἰώνων οὐκ ἄγουσι Ἀπατούρια· καὶ οὗτοι κατὰ φόνου τινὰ σκῆψιν.

148. Τὸ δὲ Πανιώνιόν ἐστι τῆς Μυκάλης χῶρος ἱρὸς, πρὸς ἄρκτον τετραμμένος, κοινῇ ἐξαιρημένος ὑπὸ Ἰώνων Ποσειδέωνι Ἑλικωνίῳ· ἡ δὲ Μυκάλη ἐστὶ τῆς ἠπείρου ἄκρη, πρὸς ζέφυρον ἄνεμον κατήκουσα Σάμῳ. ἐς τὴν συλλεγόμενοι ἀπὸ τῶν πολίων Ἴωνες, ἄγεσκον ὁρτήν, τῇ ἔθεντο οὔνομα Πανιώνια. πεπόνθασι δὲ οὔτι μοῦναι αἱ Ἰώνων ὁρταὶ τοῦτο, ἀλλὰ καὶ Ἑλλήνων πάντων ὁμοίως πᾶσαι ἐς τωὐτὸ γράμμα τελευτῶσαι, κατάπερ τῶν Περσέων τὰ οὐνόματα. αὗται μὲν αἱ Ἰάδες πόλιές εἰσι.

149. Αἵδε δὲ αἱ Αἰολίδες, Κύμη, ἡ Φρικωνὶς καλεομένη, Λήρισσαι, Νέον τεῖχος; Τῆμνος, Κίλλα, Νότιον, Αἰγιρόεσσα, Πιτάνη, Αἰγαῖαι, Μύ-

изъ Кавконовъ Пилійскихъ, происходившихъ отъ Кодра, сына Меланѳова; иные изъ обоихъ сихъ поколѣній. Впрочемъ, они нѣсколько больше держатся имени Іонянъ, нежели прочіе Іоняне. Пускай они будутъ и настоящіе Іоняне; однако Іоняне суть и всѣ, произшедшіе изъ Аѳинъ, и празднуютъ Апатуріи. Празднуютъ же сей праздникъ всѣ, кромѣ Ефесіянъ и Колофонянъ, не празднующихъ онаго по причинѣ содѣланнаго въ странѣ ихъ нѣкоего убійства.

CXLVIII. Паніоніонъ есть священное мѣсто въ Микалѣ, лежащее къ сѣверу, общимъ согласіемъ Іонянъ посвященное Посидону Геликонскому. Микала есть мысъ, выдавшійся съ западной стороны къ Самосу. Сюда-то Іоняне стекались изъ всѣхъ союзныхъ городовъ совершать празднество, названное ими *Паніоніями*. (Іонійскіе праздники имѣютъ съ Эллинскими общаго то, что названія оныхъ оканчиваются одинакимъ образомъ, такъ какъ и имена Персидскія). И такъ Іонійскіе города мною исчислены.

CXLIX. Города Эолійскіе суть: Кима, называющаяся также Фриконисою, Лариссы, Неонъ-Тихосъ, Тимнъ, Килла, Нотіонъ, Эгироесса, Пипана, Эгеи, Мирина, и Гринея.

ρινα, Γρύνεια· αὗται ἕνδεκα Αἰολέων πόλιες αἱ ἀρχαῖαι. μία γάρ σφεων παρελύθη ὑπὸ Ἰώνων, Σμύρνη. ἦσαν γὰρ καὶ αὗται δυώδεκα αἱ ἐν τῇ ἠπείρῳ. οὗτοι δὲ οἱ Αἰολέες χώρην μὲν ἔτυχον κτίσαντες ἀμείνω Ἰώνων, ὡρέων δὲ ἥκισσαν οὐκ ὁμοίως.

150. Σμύρνην δὲ ὧδε ἀπέβαλον Αἰολέες· Κολοφωνίους ἄνδρας στάσει ἐσσωθέντας, καὶ ἐκπεσόντας ἐκ τῆς πατρίδος, ὑπεδέξαντο. μετὰ δὲ, οἱ Φυγάδες τῶν Κολοφωνίων Φυλάξαντες τοὺς Σμυρναίους ὁρτὴν ἔξω τείχεος ποιευμένους Διονύσῳ, τὰς πύλας ἀποκλήϊσαντες, ἔσχον τὴν πόλιν, βοηθησάντων δὲ πάντων Αἰολέων, ὁμολογίῃ ἐχρήσαντο, τὰ ἔπιπλα ἀποδόντων τῶν Ἰώνων, ἐκλιπεῖν Σμύρνην Αἰολέας. ποιησάντων δὲ ταῦτα Σμυρναίων, ἐπιδιείλοντό σφεας αἱ ἕνδεκα πόλιες, καὶ ἐποιήσαντο σφέων αὐτέων πολιήτας.

151. Αὗται μέν νυν αἱ ἠπειρώτιδες Αἰολίδες πόλιες, ἔξω τῶν ἐν τῇ Ἴδῃ οἰκημένων· χεχωρίδαται γὰρ αὗται. αἱ δὲ τὰς νήσους ἔχουσαι, πέντε μὲν πόλιες τὴν Λέσβον νέμονται· τὴν γὰρ ἕκτην ἐν τῇ Λέσβῳ οἰκεομένην Ἀρίσβαν

Сіи одиннадцать Эолійскихъ городовъ суть древніе и находятся на матерой землѣ; прежде было двенадцать, но Іоняне Смирну отняли у нихъ. Пошва земли въ Эоліи плодороднѣе Іонійской, но благораствореніемъ воздуха уступаетъ послѣдьей.

CL. Смирны лишились Эоляне слѣдующимъ образомъ. Жители сего города приняли къ себѣ Колофонянъ, безуспѣшно возмутившихся и изгнанныхъ изъ отечества. Послѣ того изгнанники сіи, выждавши день, въ которой жители Смирны совершали празднество Вакху внѣ градской стѣны, заперли ворота и овладѣли городомъ. Всѣ Эоляне стеклися на помощь Смирнейцамъ и заключенъ договоръ, чтобы Іоняне отдали Эолянамъ всю движимость, послѣ чего сіи оставили бы Смирну. По исполненіи сего договора, прочіе одиннадцать городовъ разобрали между собою жителей Смирны и сдѣлали ихъ своими гражданами.

CLI. Въ числѣ сихъ Эолійскихъ городовъ, лежащихъ на матерой землѣ, не заключаются находящіеся на горѣ Идѣ. Что жъ касается до городовъ на островахъ, ихъ только пять считается на островѣ Лесвосѣ. Шестый же, построенный ими на Лесвосѣ, Арисву Ме-

ἠνδραπόδισαν Μεθυμναῖοι, ἐόντας ὁμαίμους. ἐν Τενέδῳ δὲ μία οἰκέεται πόλις, καὶ ἐν τῇσι Ἑκατὸν νήσοισι καλεομένῃσι ἄλλη μία. Λεσβίοισι μὲν νυν καὶ Τενεδίοισι, κατάπερ Ἰώνων τοῖσι τὰς νήσους ἔχουσι, ἦν δεινὸν οὐδέν· τῇσι δὲ λοιπῇσι πόλισι ἔαδε κοινῇ Ἴωσι ἕπεσθαι, τῇ ἂν ὗτοι ἐξηγέωνται.

152. Ὡς δὲ ἀπικέατο ἐς τὴν Σπάρτην τῶν Ἰώνων καὶ Αἰολέων οἱ ἄγγελοι, (κατὰ γὰρ δὴ τάχος ἦν ταῦτα περησσόμενα), εἵλοντο πρὸ πάντων λέγειν τὸν Φωκαέα, τῷ οὔνομα ἦν Πύθερμος. ὁ δὲ, πορφύρεόν τε εἶμα περιβαλλόμενος, ὡς ἂν πυνθανόμενοι πλεῖσοι συνέλθοιεν Σπαρτιητέων, καὶ κατασὰς, ἔλεγε πολλὰ, τιμωρέειν ἑωυτοῖσι χρήζων. Λακεδαιμόνιοι δὲ ἔχως ἤκουον, ἀλλ' ἀπέδοξέ σφι μὴ τιμωρέειν Ἴωσι. οἱ μὲν δὴ ἀπαλλάσσοντο· Λακεδαιμόνιοι δὲ ἀπωσάμενοι τῶν Ἰώνων τοὺς ἀγγέλους, ὅμως ἀπέστειλαν πεντηκοντέρῳ ἄνδρας, ὡς μὲν ἐμοὶ δοκέει, κατασκόπους τῶν τε Κύρου πρηγμάτων καὶ Ἰωνίης. ἀπικόμενοι δὲ οὗτοι ἐς Φώκαιαν, ἔπεμπον ἐς Σάρδις σφέων αὐτέων τὸν δοκιμώτατον, τῷ

eимнеяне опустошили и жителей ихъ взяли въ плѣнъ, хотя они были единокровны съ ними; на Тенедосѣ одинъ городъ, и одинъ на такъ называемыхъ Спѣ-Островахъ. Лесвійцы и Тенедосцы, равно и Іоняне, на островахъ обитавшіе, находились въ безопасности; прочіе же Эолійскіе города рѣшились слѣдовать за Іонянами, куда сіи ни поведутъ ихъ.

CLII. Когда Іонійскіе и Эолійскіе послы прибыли въ Спарту (ибо сіе скоро дѣлалось), они избрали Фокеянина, по имени Пиѳерма, говорить отъ лица всѣхъ. Сей ораторъ, надѣвъ на себя пурпуровую епанчу, дабы дать знать о своемъ прибытіи и привлечь къ ссбѣ больше любопытствующихъ, вышелъ на средину собранія, и говорилъ длинную рѣчь для убѣжденія Спартанцевъ подать имъ помощь. Но рѣчь сія не имѣла успѣха; Лакедемоняне не согласились подать помощь Іонянамъ; и потому послы удалились. Однакожъ, проводивъ такимъ образомъ пословъ, Лакедемоняне отправили пятидесяти-весельное судно съ довѣренными людьми, для наблюденія, какъ мнѣ кажется, что такое происходитъ между Киромъ и Іонянами. Пристав въ Фокеѣ, они послали въ Сарды изъ своего числа самаго добродушнѣйшаго мужа, по имени Лакрина,

ὄνομα ἦν Λαχρίνης, ἀπερέοντα Κύρῳ Λαχεδαιμονίων ξῆσιν, „γῆς τῆς Ἑλλάδος μηδεμίην πόλιν σιναμωρέειν, ὡς αὐτῶν ἀ περιοψομένων.“

153. Ταῦτα εἰπόντος τοῦ κήρυκος, λέγεται Κῦρον ἐπείρεσθαι τοὺς παρεόντας οἱ Ἑλλήνων, τίνες ἐόντες ἄνθρωποι Λαχεδαιμόνιοι, καὶ κόσοι πλῆθος, ταῦτα ἑωυτῷ προαγορεύσι. πυνθανόμενον δέ μιν εἰπεῖν πρὸς τὸν κήρυκα τὸν Σπαρτιήτην· »Οὐκ ἔδεισά κω ἄνδρας τοιούτους, τοῖσί »ἐσι χῶρος ἐν μέσῃ τῇ πόλει ἀποδεδεγμένος, ἐς »τὸν συλλεγόμενοι, ἀλλήλους ὀμοῦντες ἐξαπατῶσι. »τοῖσι, ἢν ἐγὼ ὑγιαίνω, ἀ τὰ Ἰώνων πάθεα ἔσαι »ἔλλεσχα, ἀλλὰ τὰ οἰκήϊα.« Ταῦτα ἐς τοὺς πάντας Ἕλληνας ἀπέρριψε ὁ Κῦρος τὰ ἔπεα, ὅτι ἀγορὰς χτησάμενοι, ὠνῇ τε καὶ πρήσει χρέωνται. αὐτοὶ γὰρ οἱ Πέρσαι ἀγορῇσι οὐδὲν ἐώθασι χρᾶσθαι, οὐδέ σφι ἐσι τοπαράπαν ἀγορή. μετὰ ταῦτα ἐπιτρέψας τὰς μὲν Σάρδις Ταβάλῳ ἀνδρὶ Πέρσῃ, τὸν δὲ χρυσὸν τόν τε Κροίσου καὶ τὸν τῶν ἄλλων Λυδῶν Παχτύῃ ἀνδρὶ Λυδῷ κομίζειν, ἀπήλαυνε αὐτὸς ἐς Ἀγβάτανα, Κροῖσόν τε ἅμα ἀγόμενος, καὶ τοὺς Ἴωνας ἐν οὐδενὶ λόγῳ ποιησάμενος τὴν πρώτην εἶναι. ἥ τε γὰρ Βαβυλὼν οἱ ἦν ἐμπόδιος, καὶ τὸ Βάκτριον ἔθνος, καὶ Σάκαι τε καὶ Αἰγύπτιοι, ἐπ' οὓς ἐπεῖχέ τε

дабы сказалъ Киру Лакедемонскими словами: „чтобы онъ никакому городу Эллад~~ской земли~~ скои не причинялъ вреда; ибо они не оспаривпъ того въ пренебреженіи.“

CLIII. Когда посолъ произнесъ слова сіи, Киръ, сказываютъ, спросилъ находившихся тогда при немъ Эллиновъ: „Что за люди Лакедемоняне и какъ велико число ихъ, что такъ говорятъ съ нимъ?“ Узнавъ о семъ, сказалъ Спартанцу: „Не боюся такихъ людей, у коихъ среди города есть назначенное мѣсто, на которомъ собравшись обманываютъ другъ друга; употребляя къ тому клятву. Если я буду здоровъ, они станутъ заниматься несчастіемъ не Іонянъ, но своимъ.“ Киръ въ сихъ словахъ имѣлъ въ виду всѣхъ Эллиновъ, потому что они имѣютъ торжища, на коихъ производятъ куплю и продажу. У Персовъ же торжищъ нѣтъ и они вóвсе не занимаются торгами. Послѣ сего препоручивъ Сарды Тавалу, родомъ Персіянину, а золото Крезово и другихъ Лидіянъ отдавъ Лидійцу Пактію для доставленія въ Персію, самъ отправился въ Экватаны, взявъ съ собою Креза; онъ не почиталъ войну съ Іонянами заслуживающею первыхъ его попеченій. Его занималъ непокорный Вавиловъ, народъ Вактрійскій, Саки и Египтяне, противъ ко-

στρατηλατέειν αὐτός, ἐπὶ δὲ Ἴωνας ἄλλον πέμπειν στρατηγόν.

154. Ὡς δὲ ἀπήλασε ὁ Κῦρος ἐκ τῶν Σαρδίων, τοὺς Λυδοὺς ἀπέστησε ἡ Πακτύης ἀπό τε Ταβάλου καὶ Κύρου· καταβὰς δὲ ἐπὶ θάλασσαν, ἄτε τὸν χρυσὸν ἔχων πάντα τὸν ἐκ τῶν Σαρδίων, ἐπικούρους τε ἐμισθοῦτο, καὶ τοὺς ἐπιθαλασσίους ἀνθρώπους ἔπειθε σὺν ἑωυτῷ στρατεύεσθαι. ἐλάσας δὲ ἐπὶ τὰς Σάρδις, ἐπολιόρκεε Τάβαλον, ἀπεργμένον ἐν τῇ ἀκροπόλει.

155. Πυθόμενος δὲ κατ' ὁδὸν ταῦτα ὁ Κῦρος, εἶπε πρὸς Κροῖσον τάδε· »Κροῖσε, τί ἔσαι τὸ »τέλος τῶν γινομένων τούτων ἐμοί; ὃ παύσονται Λυδοὶ. ὡς οἰκασι, πρήγματα παρέχοντες, »καὶ αὐτοὶ ἔχοντες. Φροντίζω, μὴ ἄρισον ἢ ἐξαν»δραποδίσασθαι σφεας. ὁμοίως γάρ μοι νῦν γε »Φαίνομαι πεποιηκέναι, ὡς εἴ τις πατέρα ἀπο»κτείνας, τῶν παίδων αὐτῷ φείσαιτο. ὡς δὲ καὶ »ἐγώ Λυδῶν τὸν μὲν πλέον τι ἢ πατέρα ἐόντά »σε λαβὼν ἄγω, αὐτοῖσι δὲ Λυδοῖσι τὴν πόλιν »παρέδωκα· καὶ ἔπειτα θωϋμάζω εἴ μοι ἀπε»σᾶσι;« Ὁ μὲν δὴ ταπερ νόεε, ἔλεγε· ὁ δ' ἀμείβετο τοῖσδε, δείσας μὴ ἀνασάτιος ποιήσῃ τὰς Σάρδις· »Ὦ βασιλεῦ, τὰ μὲν οἰκότα εἴρηκας· σὺ »μέντοι μὴ πάντα θυμῷ χρέω, μηδὲ πόλιν ἀρ-

ихъ самъ собирался итти въ походъ; а противъ Іонянъ послать другаго полководца.

CLIV. Лишь только Киръ выступилъ изъ Сардъ, Пактій возмутилъ Лидійцевъ противъ Тавала и Кира. Онъ отправился къ морю и, обладая всѣмъ Сардійскимъ золотомъ, нанялъ войско и склонилъ приморскихъ жителей итти съ нимъ въ походъ. Съ симъ войскомъ пошелъ онъ къ Сардамъ и осадилъ крѣпость, въ коей Тавалъ заперся.

CLV. Киръ, узнавъ о семъ ~~въ походѣ своемъ~~, ~~призвалъ къ себѣ Креза и~~ сказалъ ~~ему~~: „Крезъ! каковъ будетъ конецъ этому? Лидійцы, какъ кажется, не престанутъ меня и себя безпокоить. Я думаю, что всего лучше будетъ привести ихъ въ совершенное рабство. Ибо мнѣ кажется, я нынѣ поступаю такъ, какъ тотъ, кто, убивъ отца, пощадилъ бы его дѣтей. Я взялъ тебя въ плѣнъ и тебя, который для Лидійцевъ значишь больше отца, вожу съ собою; а самимъ имъ отдалъ во власть городъ. ~~Послѣ его какъ не удивляться мнѣ~~, что они отъ меня отложились?“ Киръ сказалъ то, что думалъ. Крезъ, боясь, чтобы онъ не разрушилъ Сардъ до основанія: „Государь! отвѣтствуетъ ему, ты сказалъ правду; однакожъ не предавайся гнѣву совершенно, не разрушай древняго го-

»χαίην ἐξανασήσῃς, ἀναμάρτητον ἐοῦσαν καὶ τῶν »πρότερον, καὶ τῶν νῦν ἑσεώτων. τὰ μὲν γὰρ »πρότερον ἐγώ τε ἔπρηξα, καὶ ἐγὼ ἐμῇ κεφαλῇ »ἀναμάξας φέρω· τὰ δὲ νῦν παρεόντα, Παχτύης »γάρ ἐσι ὁ ἀδικέων, τῷ σὺ ἐπέτρεψας Σάρδις, »ἔτος δότω τοι δίκην· Λυδοῖσι δὲ συγγνώμην »ἔχων, τάδε αὐτοῖσι ἐπίταξον, ὡς μήτε ἀπο»σέωσι, μήτε δεινοί τοι ἔωσι. ἄπειπε μέν σφι »πέμψας, ὅπλα ἀρῄια μὴ ἐκτῆσθαι. κέλευε δέ »σφεας κιθῶνάς τε ὑποδύνειν τοῖσι εἵμασι, καὶ »κοθόρνους ὑποδέεσθαι. πρόειπε δ' αὐτοῖσι κιθα»ρίζειν τε καὶ ψάλλειν καὶ καπηλεύειν παιδεύειν »τὺς παῖδας. καὶ ταχέως σφέας, ὦ βασιλεῦ, γυ»ναῖκας ἀντ' ἀνδρῶν ὄψεαι γεγονότας, ὥστε »ὑδὲν δεινοί τοι ἔσονται μὴ ἀποσέωσι.«

156. Κροῖσος μὲν δὴ ταῦτά τέ οἱ ὑπετίθετο, αἱρετώτερα ταῦτα εὑρίσκων Λυδοῖσι, ἢ ἀνδραποδισθέντας πρηθῆναι σφέας· ἐπισάμενος ὅτι ἦν μὴ ἀξιόχρεων πρόφασιν προτείνῃ, ὐκ ἀναπείσει μιν μεταβυλεύσασθαι· ἀϱϱωδέων δὲ μὴ καὶ ὕστερόν κοτε οἱ Λυδοὶ, ἦν τὸ παρεὸν υπεκδράμωσι, ἀποσάντες ἀπὸ τῶν Περσέων ἀπόλωνται. Κῦρος δὲ ἡσθεὶς τῇ ὑποθήκῃ, καὶ ὑπεὶς τῆς ὀργῆς, ἔφη οἱ πείθεσθαι. καλέσας δὲ Μαζάρεα ἄνδρα Μῆδον, ταὐτά οἱ ἐνετείλατο προει-

рода, невиннаго какъ въ случившемся прежде, такъ и въ настоящемъ событіи. Въ первомъ случаѣ дѣйствовалъ я, за что нынѣ плачу головою своею; въ настоящемъ, виноватъ Пактій, коего управленію препоручилъ ты Сарды. Пусть онъ и наказанъ будетъ; но Лидійцамъ прости, подтвердивъ имъ, чтобы они впредь не возставали на тебя и тебя не безпокоили бы. Пошли сказать имъ, чтобы они воинскаго оружія у себя не имѣли; вели имъ подъ плащами носить туники, и обуваться въ коѳурны. Прикажи, чтобы они дѣтей своихъ учили играть на киѳарѣ, пѣть и ~~предаваться потѣхамъ~~, и вскорѣ увидишь, что они изъ мущинъ сдѣлаются женщинами, и тебѣ не для чего будетъ опасаться ихъ возмущенія.“

CLVI. Таковыя мѣры Крезъ предлагалъ Киру, почитая, что онѣ для Лидійцевъ не столь пагубны, какъ если поработить ихъ и продать какъ невольниковъ. Онъ зналъ, что, если не представитъ причинъ, заслуживающихъ уваженіе, не убѣдитъ Кира перемѣнить свое намѣреніе; боялся при семъ и того, чтобы Лидійцы, избѣгнувъ настоящей опасности, не вздумали послѣ отложиться отъ Персовъ и тѣмъ не погубили бы себя.

πεῖν Λυδοῖσι, τὰ ὁ Κροῖσος ὑπετίθετο· καὶ πρὸς, ἐξανδραποδίσασθαι τοὺς ἄλλους πάντας, οἳ μετὰ Λυδῶν ἐπὶ Σάρδις ἐστρατεύσαντο, αὐτὸν δὲ Παχτύην πάντως ζῶντα ἀγαγεῖν παρ' ἑωυτόν.

157. Ὁ μὲν δὴ ταῦτα ἐκ τῆς ὁδῷ ἐντειλάμενος, ἀπήλαυνε ἐς ἤθεα τὰ Περσέων. Παχτύης δὲ πυθόμενος ἀγχοῦ εἶναι στρατὸν ἐπ' ἑωυτὸν ἰόντα, δείσας φύχετο Φεύγων ἐς Κύμην. Μαζάρης δὲ ὁ Μῆδος ἐλάσας ἐπὶ τὰς Σάρδις, τῷ Κύρῳ στρατῷ μοῖραν ὁσηνδήκοτε ἔχων, ὡς οὐκ εὗρε ἔτι ἐόντας τοὺς ἀμφὶ Παχτύην ἐν Σάρδισι, πρῶτα μὲν τοὺς Λυδοὺς ἠνάγκασε τὰς Κύρῳ ἐντολὰς ἐπιτελέειν· ἐκ τούτου δὲ κελευσμοσύνης Λυδοὶ τὴν πᾶσαν δίαιταν τῆς ζόης μετέβαλον. Μαζάρης δὲ μετὰ τοῦτο ἔπεμπε ἐς τὴν Κύμην ἀγγέλους, ἐκδιδόναι κελεύων Παχτύην· οἱ δὲ Κυμαῖοι ἔγνωσαν συμβουλῆς πέρι ἐς θεὸν ἀνοῖσαι τὸν ἐν Βραγχίδῃσι. ἦν γὰρ αὐτόθι μαντήϊον ἐκ παλαιοῦ ἱδρυμένον, τῷ Ἴωνές τε πάντες καὶ Αἰολέες ἐώθεσαν χρέεσθαι. ὁ δὲ χῶρος ἔστι, ἔστι τῆς Μιλησίης ὑπὲρ Πανόρμου λιμένος.

158. Πέμψαντες ὦν οἱ Κυμαῖοι ἐς τοὺς Βραγχίδας θεοπρόπους, εἰρώτεον περὶ Παχτύην ὁκοῖόν

Киръ, обрадовавшись совѣтомъ Креза, умѣрилъ свой гнѣвъ и обѣщалъ послѣдовать оному. Почему, призвавъ къ себѣ Мазара, родомъ Мидянина, велѣлъ Лидійцамъ объявить то, что совѣтовалъ ему Крезъ; всѣхъ же прочихъ, кои съ Лидійцами вышли противъ Сардъ, продать, а Пактія привести къ нему живаго.

CLVII. Далъ на пути сіе приказаніе, Киръ поспѣшилъ прибыть въ Персію. Пактій, узнавъ, что идущее на него войско находится вблизи, со страха бѣжалъ въ Киму. Мазаръ пошелъ на Сарды съ частію Кирова войска; но, не нашедши уже тамъ Пактія, сперьва принудилъ Лидійцевъ исполнить повелѣнія Кировы. Слѣдствіемъ сихъ повелѣній было то, что Лидійцы перемѣнили свой образъ жизни. Послѣ сего Мазаръ отправилъ въ Киму пословъ съ требованіемъ выдать Пактія. Кимеяне положили отнестись о семъ къ прорицалищу, находившемуся въ Branхидахъ. Тамъ издавна было прорицалище, съ коимъ обыкновенно совѣтовались Іоняне и Эоляне. Мѣсто сіе находится въ Милисійской области, выше пристани Панорма.

CLVIII. Отправленные Кимеянами въ Branхиды послы спросили прорицалище: „Какъ поступить съ Пактіемъ, чтобъ сдѣлать богамъ

τι ποιέοντες θεοῖσι μέλλοιεν χαριεῖσθαι. ἐπειρωτῶσι δὲ σφι ταῦτα χρηστήριον ἐγένετο, ἐκδιδόναι Παχτύην Πέρσῃσι. ταῦτα δὲ ὡς ἀπενειχθέντα ἤχθοσαν οἱ Κυμαῖοι, ὁρμέατο ἐκδιδόναι. ὁρμεωμένοισι δὲ ταύτῃ τῇ πλήθεος, Ἀρισόδικος ὁ Ἡρακλείδεω, ἀνὴρ τῶν ἀστῶν ἐὼν δόκιμος, ἔσχε μὴ ποιῆσαι ταῦτα Κυμαίους, ἀπιστέων τε τῷ χρησμῷ, καὶ δοκέων τοὺς θεοπρόπους οὐ λέγειν ἀληθέως· ἐς ὅ, τοδεύτερον περὶ Παχτύεω ἐπειρησόμενοι, ἦεσαν ἄλλοι θεοπρόποι, τῶν καὶ Ἀρισόδικος ἦν.

159. Ἀπικομένων δὲ ἐς Βραγχίδας, ἐχρηστηριάζετο ἐκ πάντων Ἀρισόδικος, ἐπειρωτέων »τάδε· »Ὦ ναξ, ἦλθε παρ' ἡμέας ἱκέτης Παχτύης »ὁ Λυδὸς, φεύγων θάνατον βίαιον πρὸς Περ»σέων· οἱ δέ μιν ἐξαιτέονται, προεῖναι κελεύον»τες Κυμαίους. ἡμεῖς δὲ δειμαίνοντες τὴν Περσέων »δύναμιν, τὸν ἱκέτην ἐς τόδε οὐ τετολμήκαμεν »ἐκδιδόναι, πρὶν ἂν τὸ ἀπὸ σεῦ ἡμῖν δηλωθῇ »ἀτρεκέως ὁκότερα ποιέωμεν.« Ὁ μὲν ταῦτα ἐπειρώτα· ὁ δ' αὖτις τὸν αὐτόν οἱ χρησμὸν ἔφαι· νε, κελεύων ἐκδιδόναι Παχτύην Πέρσῃσι. πρὸς ταῦτα ὁ Ἀρισόδικος ἐκ προνοίης ἐποίεε τάδε· περιιὼν τὸν νηὸν κύκλῳ, ἐξαίρεε τοὺς στοιθοὺς, καὶ ἄλλα ὅσα ἦν νενοσσευμένα ὀρνίθων γένεα ἐν τῷ νηῷ. ποιέοντος δὲ αὐτοῦ ταῦτα, λέγεται φωνὴν ἐκ τοῦ ἀδύτου γενέσθαι, φέρουσαν μὲν πρὸς τὸν Ἀρισόδικον, λέγουσαν δὲ τάδε· »Ἀνοσιώτατε

угодное. На сей вопросъ прорицалище отвѣщствовало: „выдать Пактія Персамъ.“ По полученіи Кимеянами сего отвѣта, они приготовились выдать его. Когда же собралась для сего толпа народа, Аристодикъ, сынъ Ираклида, одинъ изъ почтеннѣйшихъ гражданъ, не вѣря отвѣту прорицалища и почитая, что посланные принесли несправедливый отвѣтъ, удержалъ сограждан своихъ. Посему, отправили другихъ пословъ, въ числѣ коихъ былъ и Аристодикъ.

CLIX. По прибытіи въ Вранхиды, Аристодикъ, избранный для вопрошенія прорицалища, спросилъ оное сими словами: „Государь! къ намъ пришелъ подъ защиту Лидіецъ Пактій, избѣгающій насильственной смерти отъ Персовъ. Они требуютъ его назадъ, повелѣвая Кимеянамъ выдать его. Мы, боясь силы Персовъ, не смѣли выдать его прежде, нежели ты ясно скажешь, что намъ дѣлать.“ На сей вопросъ прорицалище опять отвѣтствовало, чтобъ выдали Пактія. Тогда Аристодикъ съ умыслу началъ, ходя кругомъ по храму, сгонять съ него воробьевъ и другихъ птицъ, свившихъ себѣ на немъ гнѣзда. Вдругъ изъ олтаря, какъ сказываютъ, простерся къ Аристодику гласъ, вѣщающій слѣдующее: „Нечестивѣйшій изъ смертныхъ! по-

»ἀνθρώπων, τί τάδε τολμᾷς ποιέειν; τὺς ἱκέτας »μὺ ἐκ τῦ νηῦ κεραΐζεις;« Ἀρισόδικον δὲ ὐκ ἀπορήσαντα πρὸς ταῦτα εἰπεῖν· »Ὦ ναξ, αὐτὸς »μὲν ἔτω τοῖσι ἱκέτῃσι βοηθέεις· Κυμαίους δὲ »κελεύεις τὸν ἱκέτην ἐκδιδόναι;« Τὸν δὲ αὖτις ἀμείψασθαι τοῖςδε· »Ναὶ κελεύω, ἵνα γε ἀσεβή»σαντες, θᾶσσον ἀπόλησθε· ὡς μὴ τολοιπὸν περὶ »ἱκετέων ἐκδόσιος ἔλθητε ἐπὶ τὸ χρηστήριον.«

160. Ταῦτα ὡς ἀπειλχθέντα ἤκουσαν οἱ Κυμαῖοι, ὐ βελόμενοι ἔτε ἐκδόντες ἀπολέσθαι, ἔτε παρ' ἑωὺτοῖσι ἔχοντες πολιορκέεσθαι, ἐς Μυτιλήνην αὐτὸν ἐκπέμπουσι. οἱ δὲ Μυτιληναῖοι, ἐπιπέμποντος τῦ Μαζάρεος ἀγγελίας ἐκδιδόναι τὸν Πακτύην, παρεσκευάζοντο ἐπὶ μισθῷ ὁσῳδό. ὐ γὰρ ἔχω τῦτό γε εἰπεῖν ἀτρεκέως· ὐ γὰρ ἐτελεώθη. Κυμαῖοι γὰρ, ὡς ἔμαθον ταῦτα πρησσόμενα ἐκ τῶν Μυτιληναίων, πέμψαντες πλοῖον ἐς Λέσβον, ἐκκομίζουσι Πακτύην ἐς Χίον. ἐνθεῦτεν δὲ ἐξ ἱρῦ Ἀθηναίης Πυλιούχυ ἀποσπασθεὶς, ὑπὸ Χίων ἐξεδόθη· ἐξέδοσαν δὲ οἱ Χῖοι ἐπὶ τῷ Ἀταρνεῖ μισθῷ· τοῦ δὲ Ἀταρνέως τύτυ ἔστι χῶρος τῆς Μυσίης, Λέσβυ ἀντίος. Πακτύην μέν νυν παραδεξάμενοι οἱ Πέρσαι εἶχον ἐν Φυλακῇ, θέλοντες Κύρῳ ἀποδέξαι. ἦν δὲ χρόνος

что дерзаешь дѣлать сіе? Почто отъ храма изгоняешь моихъ просителей? Аристодикъ, необинуясь, ему отвѣтствуетъ: „Государь! ты просителей своихъ такъ защищаешь; почто же Кимеянамъ велишь выдать просителя?“ Прорицалище немедленно отвѣтствовало: „Такъ, велю, да скорѣе погибнете, нечестивые, и да не приходите впредь вопрошать прорицалище, должно ли выдавать просящихъ о защитѣ.“

CLX. Кимеяне, извѣстясь о семъ происшествіи, дабы не погибнуть самимъ, выдавъ Пактія, или, удержавъ его у себя, не быть осажденными отъ Персовъ, выслали его въ Митилену. Митиленяне же, когда Мазаръ чрезъ посланныхъ требовалъ его выдать, готовы были сдѣлать сіе, за какое-то воздаяніе. Я не могу сказать о семъ заподлинно: ибо требованіе ихъ и не совершилось. Кимеяне, узнавъ о поступкѣ Митиленянъ, послали въ Лесбосъ корабль и привезли Пактія на островъ Хіо, гдѣ извлеченный Хіосцами изъ храма Аѳины Градозащитницы, онъ преданъ Персамъ. Хіосцы выдали Пактія, получивъ за него Апарнею, мѣсто, лежащее въ Мисіи, супротивъ Лесбоса. Персы содержали Пактія подъ стражею, пока могли представить его Киру. Между тѣмъ не мало вре-

ἕτος οὐκ ὀλίγος γενόμενος, ὅτε Χίων οὐδεὶς ἐκ τοῦ Ἀταρνέως τούτου ἕτε ἁλὰς κριθῶν πρόχυσιν ἐποιέετο θεῶν οὐδενὶ, οὔτε πέμματα ἐπέσσετο καρποῦ τοῦ ἐνθεῦτεν, ἀπείχετό τε τῶν πάντων ἱρῶν τὰ πάντα ἐκ τῆς χώρης ταύτης γινόμενα.

161. Χῖοι μέν νυν Παχτύην ἐξέδοσαν. Μαζάρης δὲ μενὰ ταῦτα ἐστρατεύετο ἐπὶ τοὺς συμπολιορκήσαντας Τάβαλον. καὶ τοῦτο μέν, Πριηνέας ἐξηνδραποδίσατο· τοῦτο δὲ, Μαιάνδρου πεδίον πᾶν ἐπέδραμε, λῃΐην ποιεύμενος τῷ στρατῷ, Μαγνησίην δὲ ὡσαύτως. μετὰ δὲ ταῦτα, αὐτίκα νούσῳ τελευτᾷ.

162. Ἀποθανόντος δὲ τούτου, Ἅρπαγος κατέβη διάδοχος τῆς στρατηγίης, γένος καὶ αὐτὸς ἐὼν Μῆδος, τὸν ὁ Μήδων βασιλεὺς Ἀστυάγης ἀνόμῳ τραπέζῃ ἔδαισε, ὁ τῷ Κύρῳ τὴν βασιλῃΐην συγκατεργασάμενος. οὗτος ὦ ἀνὴρ τότε ὑπὸ Κύρου στρατηγὸς ἀποδεχθεὶς, ὡς ἀπίκετο ἐς τὴν Ἰωνίην, αἵρεε τὰς πόλιας χώμασι· ὄχωσε γὰρ τειχήρεας ποιήσιε, τὸ ἐνθεῦτεν χώματα χῶν πρὸς τὰ τείχεα ἐπόρθεε. πρώτῃ δὲ Φωκαίῃ Ἰωνίης ἐπεχείρησε.

163. Οἱ δὲ Φωκαιέες ἦτοι ναυτιλίῃσι μαχρῇσι πρῶτοι Ἑλλήνων ἐχρήσαντο· καὶ τόν τε

мени прошло, въ которое никто изъ Хіосцевъ не смѣлъ творить богамъ ~~возліванія~~ посвятивъ съ ячменемъ, растущимъ на полѣ Апарнейскомъ, ни приноситъ въ жертву хлѣбовъ изъ земныхъ плодовъ сей страны; всѣ произведенія оной удалены были отъ жертвоприношеній.

CLXI. Симъ-то образомъ Хіосцы выдали Пактія. Послѣ сего Мазаръ пошелъ пропивъ пѣхъ, кои способствовали ему въ осажденіи Тавала. Онъ ~~покорилъ~~ Пріинеянъ и ~~продалъ~~ ихъ съ публичнаго торгу, и всѣ поля Меандра наводнивъ своимъ войскомъ, предалъ оныя на разграбленіе. Съ Магнезіею поступилъ такъ же, потомъ вскорѣ ~~занемогъ и~~ умеръ.

CLXII. По смерти Мазара, Арпагъ принялъ управленіе надъ войскомъ. Это тотъ самый Мидянинъ, котораго Астіагъ, Царь Мидійскій, угостилъ ужаснѣйшею трапезою, и который Киру вспомоществовалъ къ полученію престола. По назначеніи его полководцемъ, онъ отправился въ Іонію, и началъ осаждать города земляными насыпями. Заключивъ непріятеля въ свои ограды, онъ возвышалъ насыпи до высоты стѣнъ, и такимъ образомъ овладѣвалъ городомъ. Осаду такову началъ онъ съ Фокеи.

CLXIII. Фокеяне первые изъ Эллиновъ начали заниматься отдаленнымъ мореплава-

Ἀδρίην καὶ τὴν Τυρσηνίην καὶ τὴν Ἰβηρίην καὶ τὸν Ταρτησσὸν ἔτοί εἰσι οἱ καταδέξαντες. ἐναντίλλοντο δὲ οὐ τροχγύλῃσι νηυσὶ, ἀλλὰ πεντηκοντέροισι. ἀπικόμενοι δὲ ἐς τὸν Ταρτησσὸν, προσφιλέες ἐγένοντο τῷ βασιλέϊ τῶν Ταρτησσίων, τῷ οὔνομα μὲν ἦν Ἀργανθώνιος· ἐτυράννευσε δὲ Ταρτησσοῦ ὀγδώκοντα ἔτεα, ἐβίωσε δὲ πάντα εἴκοσι καὶ ἑκατόν. τούτῳ δὴ τῷ ἀνδρὶ προσφιλέες οἱ Φωκαιέες οὕτω δή τι ἐγένοντο, ὡς τὰ μὲν πρῶτά σφεας ἐκλιπόντας Ἰωνίην, ἐκέλευε τῆς ἑωϋτοῦ χώρης οἰκῆσαι ὅκῃ βούλονται· μετὰ δὲ, ὡς τοῦτο οὐκ ἔπειθε τοὺς Φωκαιέας, ὁ δὲ πυθόμενος τὸν Μῆδον παρ' αὐτῶν ὡς αὔξοιτο, ἐδίδου σφι χρήματα τεῖχος περιβαλέσθαι τὴν πόλιν. ἐδίδου δὲ ἀφειδέως· καὶ γὰρ καὶ ἡ περίοδος τοῦ τείχεος οὐκ ὀλίγοι σάδιοί εἰσι· τοῦτο δὲ πᾶν, λίθων μεγάλων καὶ εὖ συναρμοσμένων.

164. Τὸ μὲν δὴ τεῖχος τοῖσι Φωκαιεῦσι τρόπῳ τοιῷδε ἐξεποιήθη. ὁ δὲ Ἅρπαγος ὡς ἐπήλασε τὴν στρατιὴν, ἐπολιόρκεε αὐτοὺς, προϊσχόμενος ἔπεα, ὡς οἱ καταχρᾷ, εἰ βούλονται Φωκαιέες προμαχεῶνα ἕνα μοῦνον τοῦ τείχεος ἑρεῖψαι, καὶ οἴκημα ἕν κατιρῶσαι. οἱ δὲ Φω-

ніемъ, и познакомили ихъ съ Адріатическимъ моремъ, съ Тирсиніею, Иверіею и Тарписсомъ. Они плавали не на круглыхъ корабляхъ, но на пятидесяти-весельныхъ. Прибывъ въ Тарписсъ, они приобрѣли любовь Царя сей страны, по имени Арганѳонія, царствовавшаго восемдесятъ лѣтъ, жившаго же всего сто двадцать лѣтъ. Фокеяне такъ ему понравились, что онъ сперьва уговаривалъ ихъ оставить Іонію и поселиться въ его владѣніяхъ, гдѣ имъ угодно; потомъ, немогши на то склонить ихъ, далъ имъ денегъ для обведенія города стѣною въ то время, когда Мидяне, усилясь, имъ угрожали. И даръ сей былъ не маловаженъ; ибо окружность стѣны заключаетъ въ себѣ не мало стадій, и притомъ вся стѣна выстроена изъ большихъ камней, плотно между собою складенныхъ.

CLXIV. Съ таковою-то помощію Фокеяне выстроили себѣ стѣну. Арпагъ, придвинувъ къ городу ихъ войско и осадивъ оный, предложилъ имъ, что достаточно будетъ, если они пожелаютъ, въ доказательство своей покорности, сбросить одинъ раскатъ со стѣны и посвятить Царю одинъ домъ. Но Фокеяне, не терпя рабства, отвѣтствовали, „что они хотятъ одинъ день подумать о семъ предложеніи, и потомъ будутъ отвѣ-

καιέες, περιημεκτέοντες τῇ δυλοσύνῃ, ἔφασαν θέλειν βυλεύσασθαι ἡμέρην μίην, καὶ ἔπειτα ὑποκρινέεσθαι. ἐν ᾧ δὲ βυλεύονται αὐτοὶ, ἀπαγαγεῖν ἐκεῖνον ἐκέλευον τὴν στρατιὴν ἀπὸ τοῦ τείχεος. ὁ δ' Ἅρπαγος ἔφη εἰδέναι μὲν εὖ τὰ ἐκεῖνοι μέλλοιεν ποιέειν, ὅμως δέ σφι παριέναι βυλεύσασθαι. ἐν ᾧ ὦν ὁ Ἅρπαγος ἀπὸ τοῦ τείχεος ἀπήγαγε τὴν στρατιὴν, οἱ Φωκαιέες ἐν τούτῳ καταστάσαντες τὰς πεντηκοντέρυς, ἐσθέμενοι τέκνα καὶ γυναῖκας καὶ ἔπιπλα πάντα, πρὸς δὲ καὶ τὰ ἀγάλματα τὰ ἐκ τῶν ἱρῶν, καὶ τὰ ἄλλα ἀναθήματα, χωρὶς ὅτι χαλκὸς ἢ λίθος ἢ γραφὴ ἦν, τὰ δὲ ἄλλα πάντα ἐσθέντες, καὶ αὐτοὶ ἐσβάντες, ἔπλεον ἐπὶ Χίυ. τὴν δὲ Φωκαίην ἐρημωθεῖσαν ἀνδρῶν ἔσχον οἱ Πέρσαι.

165. Οἱ δὲ Φωκαιέες, ἐπεὶ τέ σφι Χῖοι τὰς νήσους τὰς Οἰνούσσας καλεομένας οὐκ ἐβούλοντο ὠνεομένοισι πωλέειν, δειμαίνοντες μὴ αἱ μὲν ἐμπόριον γένωνται, ἡ δὲ αὐτέων νῆσος ἀποκληϊσθῇ τούτου εἵνεκα, πρὸς ταῦτα οἱ Φωκαιέες ἐσέλλοντο ἐς Κύρνον. ἐν γὰρ τῇ Κύρνῳ εἴκοσι ἔτεσι πρότερον τούτων ἐκ θεοπροπίου ἀνεσήσαντο πόλιν, τῇ οὔνομα ἦν Ἀλαλίη. Ἀργανθώνιος δὲ τυραννεύσας ἤδη τετελευτήκεε. σελλόμενοι δὲ ἐπὶ τὴν Κύρνον, πρῶτα καταπλεύσαντες ἐς τὴν Φωκαίην, κατεφόνευσαν τῶν Περσέων τὴν φυλα-

чать; въ тотъ же день, когда они разсуждать будутъ о семъ, просили, чтобы войско отведено было отъ городской стѣны. Арпагъ отвѣчалъ имъ, что онъ знаетъ, что хотятъ они сдѣлать; однако соглашается дать имъ время на размышленіе.“ Коль скоро Арпагъ отвелъ войско отъ стѣны, Фокеяне немедленно ввели въ море пятидесяти-весельные корабли, посадили на нихъ женъ и дѣтей, положили свое движимое имущество, изваянія боговъ, взятыя изъ храмовъ, и другіе вклады богамъ, кромѣ мѣдныхъ, каменныхъ и живописныхъ и, сѣвъ сами на корабли, отправились къ острову Хіо; такимъ образомъ Персы овладѣли Фокеею безлюдною.

CLXV. Фокеяне предложили Хіосцамъ продать имъ острова Ойнуссы; но какъ сіи не хотѣли на то согласиться, опасаясь, чтобъ тѣмъ не утвердить близъ себя торговли, которая приведетъ ихъ торговлю въ упадокъ; то Фокеяне поплыли въ Кирносъ. Ибо тутъ, за двадцать пять лѣтъ предъ симъ, по совѣту прорицалища, построили они городъ, по имени Алалію; Арганѳонія же въ то время не было уже въ живыхъ. Отправляясь въ Кирносъ, сперьва зашли въ Фокею, перебили Персидскую стражу, Арпагомъ въ городѣ по-

κὴν, ἣ ἐφρύρεε παραδεξαμένη παρὰ Ἁρπάγε τὴν πόλιν. μετὰ δὲ, ὡς τᾶτό σφι ἐξέργαστο, ἐποιήσαντο ἰσχυρὰς κατάρας τῷ ὑπολειπομένῳ ἑωϋτῶν τᾷ πόλι. πρὸς δὲ ταύτῃσι, καὶ μύδρον σιδήρεον κατεπόντωσαν, καὶ ὤμοσαν «μὴ πρὶν ἐς Φωκαίην ἥξειν, πρὶν ἢ τὸν μύδρον τᾶτον ἀναφῆναι.» στελλομένων δὲ αὐτῶν ἐπὶ τὴν Κύρνον, ὑπὲρ ἡμίσεας τῶν ἀστῶν ἔλαβε πόθος τε καὶ οἶκτος τῆς πόλιος καὶ τῶν ἠθέων τῆς χώρης· ψευδόρκιοι δὲ γενόμενοι, ἀπέπλεον ὀπίσω ἐς τὴν Φωκαίην. οἱ δὲ αὐτῶν τὸ ὅρκιον ἐφύλασσον, ἀερθέντες ἐκ τῶν Οἰνυσσέων ἔπλεον.

166. Ἐπεί τε δὲ ἐς τὴν Κύρνον ἀπίκοντο, οἴκεον κοινῇ μετὰ τῶν πρότερον ἀπιγμένων ἐπ' ἔτεα πέντε, καὶ ἱρὰ ἐνιδρύσαντο. καὶ ἄγον γὰρ δὴ καὶ ἔφερον ἐκ τῶν περιοίκων ἅπαντας· στρατεύονται ὧν ἐπ' αὐτοὺς κοινῷ λόγῳ χρησάμενοι Τυρσηνοὶ καὶ Καρχηδόνιοι, νηυσὶ ἑκάτεροι ἑξήκοντα. οἱ δὲ Φωκαιέες πληρώσαντες καὶ αὐτοὶ τὰ πλοῖα, ἐόντα ἀριθμὸν ἑξήκοντα, ἀντίαζον ἐς τὸ Σαρδόνιον καλεόμενον πέλαγος. συμμισγόντων δὲ τῇ ναυμαχίῃ, Καδμείη τις νίκη τοῖσι Φωκαιεῦσι ἐγένετο. αἱ μὲν γὰρ τεσσεράκοντά σφισι νῆες διεφθάρησαν· αἱ δὲ εἴκοσι αἱ πε-

ставленную; послѣ чего, изрекли жестокія прокляпія на того, кто изъ нихъ оставитъ флотъ; сверхъ того, погрузивъ въ море большой кусокъ раскаленнаго желѣза, поклялись, „не прежде возвратиться въ Фокею, какъ когда желѣзо сіе всплыветъ на поверхность моря.“ Но въ то время, какъ корабли собрались плыть въ Кирносъ, большую часть гражданъ превозмогли привязанность къ привычкамъ своей страны и сожалѣніе о городѣ, ими оставленномъ; посему, нарушивъ клятву, они возвратились въ Фокею; сохранившіе же клятву, снявщись съ якорей, съ острововъ Эгусскихъ отплыли.

CLXVI. По прибытіи въ Кирносъ, жили намъ вмѣстѣ съ пришедшими туда прежде, пять лѣтъ, и на семъ островѣ построили храмы. Но какъ они всѣхъ сосѣдей безпокоили набѣгами и грабежами: то Тирренцы и Карѳагеняне согласились между собою противъ нихъ выступить въ походъ на шести-десяти кораблях. Фокеяне также вооружили шестдесятъ кораблей и пошли на встрѣчу имъ въ море Сардонійское. По вступленіи въ сраженіе, Фокеяне одержали, какъ говорится, Кадмейскую побѣду: ибо они сорокъ кораблей потеряли, а двадцать оставшіеся были не-

ριεῦσαι, ἦσαν ἄχρηστοι· ἀπεστράφατο γὰρ τοὺς ἐμβόλους. καταπλώσαντες δὲ ἐς τὴν Ἀλαλίην, ἀνέλαβον τὰ τέκνα καὶ τὰς γυναῖκας, καὶ τὴν ἄλλην κτῆσιν ὅσην οἵαί τε ἐγένοντο αἱ νῆες σφι ἄγειν· καὶ ἔπειτα ἀφέντες τὴν Κύρνον, ἔπλεον ἐς Ῥήγιον.

167. Τῶν δὲ διαφθαρεισέων νεῶν τοὺς ἄνδρας, οἵ τε Καρχηδόνιοι καὶ οἱ Τυρσηνοὶ ἔλαχόν τε αὐτέων πολλῷ πλείους, καὶ τούτους ἐξαγαγόντες κατέλευσαν. μετὰ δὲ Ἀγυλλαίοισι πάντα τὰ παριόντα τὸν χῶρον, ἐν τῷ οἱ Φωκαιέες κατα-λευσθέντες ἐκέατο, ἐγίνετο διάστροφα καὶ ἔμπηρα καὶ ἀπόπληκτα, ὁμοίως πρόβατα καὶ ὑποζύγια καὶ ἄνθρωποι. οἱ δὲ Ἀγυλλαῖοι ἐς Δελφοὺς ἔπεμπον, βουλόμενοι ἀκέσασθαι τὴν ἁμαρτάδα. ἡ δὲ Πυθίη σφέας ἐκέλευσε ποιέειν, τὰ καὶ νῦν οἱ Ἀγυλλαῖοι ἔτι ἐπιτελέουσι· καὶ γὰρ ἐναγίζουσι σφι μεγάλως, καὶ ἀγῶνα γυμνικὸν καὶ ἱππικὸν ἐπισᾶσι. καὶ οὗτοι μὲν τῶν Φωκαιέων τοιούτῳ μόρῳ διεχρήσαντο. οἱ δὲ αὐτῶν ἐς τὸ Ῥήγιον καταφυγόντες, ἐνθεῦτεν ὁρμεώμενοι, ἐκτήσαντο πόλιν γῆς τῆς Οἰνωτρίης ταύτην, ἥτις νῦν Ὑέλη καλέεται. ἔκτισαν δὲ ταύτην, πρὸς ἀνδρὸς Ποσειδωνιήτεω μαθόντες, ὡς τὸν Κύρνον σφι ἡ Πυθίη ἔχρησε κτίσαι, ἥρωα ἐόντα, ἀλλ' οὐ τὴν νῆ-

годны къ употребленію, потому что у нихъ своpочены были носы. Для сего они опять поплыли въ Алалію, забрали тамъ женъ, дѣтей и все имущество, какое можно было увезти на корабляхъ, оставили Кирносъ и поплыли въ Ригіонъ.

CLXVII. Людей же на погибшихъ корабляхъ Карѳагеняне и Тирренцы взявши въ плѣнъ гораздо большее число, нежели Фокеяне, вывели на берегъ и побили каменьями. Послѣ сего, все мѣсто, на которомъ лежали побитые Фокеяне, сдѣлалось опаснымъ для проходящихъ Агиллеянъ, въ странѣ которыхъ оное находилось; люди, подъяремный и домашній скотъ были изувѣчиваемы, разтерзываемы или лишаемы употребленія членовъ. Агиллеяне, желая избавиться отъ таковой напасти, послали къ Дельфійцамъ вопросить прорицалище. Пиѳія велѣла имъ дѣлать то, что Агиллеяне и нынѣ исполняютъ; т. е. дѣлаютъ богатыя поминанія по умершихъ, совершаютъ въ честь имъ гимническія битвы и ристанія. Такою-то смертію умерли плѣненные Фокеяне; убѣжавшіе же въ Ригіонъ построили въ Энотрійской землѣ городъ, нынѣ называемый Лэлою. Они построили сей городъ потому, что отъ одного Поссидоняннна узнали, что Пиѳія повелѣла имъ чинить

σον. Φωκαίης μέν νυν πέρι τῆς ἐν Ἰωνίῃ οὕτω ἔσχε.

168. Παραπλήσια δὲ τούτοισι καὶ Τήϊοι ἐποίησαν· ἐπεί τε γάρ σφεων εἷλε χώματι τὸ τεῖχος Ἅρπαγος, ἐσβάντες πάντες ἐς τὰ πλοῖα, οἴχοντο πλέοντες ἐπὶ τῆς Θρηϊκίης, καὶ ἐνθαῦτα ἔκτισαν πόλιν Ἄβδηρα· τὴν πρότερος τούτων Κλαζομένιος Τιμήσιος κτίσας, ἐκ ἀπώνητο, ἀλλ' ὑπὸ Θρηίκων ἐξελαθεὶς. τιμὰς νῦν ὑπὸ Τηΐων τῶν ἐν Ἀβδήροισι ὡς ἥρως ἔχει.

169. Οὗτοι μέν νυν Ἰώνων μοῦνοι τὴν δουλοσύνην οὐκ ἀνεχόμενοι, ἐξέλιπον τὰς πατρίδας. οἱ δ' ἄλλοι Ἴωνες, πλὴν Μιλησίων, διὰ μάχης μὲν ἀπικέατο Ἁρπάγῳ, κατάπερ οἱ ἐκλιπόντες, καὶ ἄνδρες ἐγένοντο ἀγαθοὶ, περὶ τῆς ἑωυτῶν ἕκαστος μαχόμενοι· ἐσσωθέντες δὲ καὶ ἁλόντες, ἔμενον κατὰ χώρην ἕκαστοι, καὶ τὰ ἐπιτασσόμενα ἐπετέλεον. Μιλήσιοι δὲ, ὡς καὶ πρότερόν μοι εἴρηται, αὐτῷ Κύρῳ ὅρκιον ποιησάμενοι, ἡσυχίην ἄγον. οὕτω δὴ τὸ δεύτερον Ἰωνίη ἐδεδούλωτο. ὡς δὲ τοὺς ἐν τῇ ἠπείρῳ Ἴωνας ἐχειρώσατο Ἅρπαγος, οἱ τὰς νήσους ἔχοντες

героя *Кирноса*, а не острова сего имени. Вотъ событія въ Іонійскомъ городѣ Фокеѣ.

CLXVIII. Подобнымъ образомъ поступили и жители *Теоса*. Ибо когда Арпагъ городскую стѣну ихъ обложилъ земляньмъ валомъ; всѣ они, сѣвъ на суда, поплыли во Ѳракію и тамъ построили городъ Абдеру. Первымъ основателемъ онаго былъ Тимисій Клазоменскій, но не получилъ отъ того никакой пользы; ибо Ѳракійцы его прогнали. Теосцы же, живущіе въ Абдерѣ, и нынѣ чтятъ его, какъ героя.

CLXIX. Сіи народы одни изъ всей Іоніи, для избѣжанія рабства, оставили свое отечество. Прочіе Іоняне, кромѣ Милисіянъ, подобно Фокеянамъ и Теосцамъ, вступили въ битву съ Арпагомъ, и, сражаясь каждый за себя, оказали великую храбрость; но наконецъ бывъ побѣждены и завоеваны, остались впрочемъ въ своей отчизнѣ, и исполняли повелѣнія побѣдителя. Милисіяне же, какъ и прежде сказано мною, давъ клятву самому Киру, наслаждались спокойствіемъ. Такимъ образомъ Іонія порабощена во второй разъ. Когда Арпагъ покорилъ себѣ Іонянъ, обитавшихъ на матерой землѣ; то жившіе на остро-

Ἴωνες, καταῤῥωδήσαντες ταῦτα, σφέας αὐτοὺς ἔδοσαν Κύρῳ.

170. Κεκακωμένων δὲ Ἰώνων, καὶ συλλεγομένων οὐδὲν ἧσσον ἐς τὸ Πανιώνιον, πυνθάνομαι γνώμην Βίαντα ἄνδρα Πριηνέα ἀποδέξασθαι, Ἴωσι χρησιμωτάτην, τῇ εἰ ἐπείθοντο, παρεῖχε ἄν σφι εὐδαιμονέειν Ἑλλήνων μάλιστα· ὃς ἐκέλευε κοινῷ στόλῳ Ἴωνας ἀειρθέντας πλέειν ἐς Σαρδὼ, καὶ ἔπειτα πόλιν μίαν κτίζειν πάντων Ἰώνων. καὶ οὕτω ἀπαλλαχθέντας σφέας δικαιοσύνης, εὐδαιμονήσειν, νήσων τε ἁπασέων μεγίστην νεμομένους, καὶ ἄρχοντας ἄλλων· μένουσι δὲ σφι ἐν τῇ Ἰωνίῃ οὐκ ἔφη ἐνορᾶν ἐλευθερίην ἔτι ἐσομένην. αὕτη μὲν Βίαντος τοῦ Πριηνέος γνώμη ἐπὶ διεφθαρμένοισι Ἴωσι γενομένη. χρηστὴ δὲ καὶ πρὶν ἢ διαφθαρῆναι Ἰωνίην, Θάλεω ἀνδρὸς Μιλησίου ἐγένετο, τὸ ἀνέκαθεν γένος ἐόντος Φοίνικος· ὃς ἐκέλευε ἕν βουλευτήριον Ἴωνας ἐκτῆσθαι· τὸ δὲ εἶναι ἐν Τέῳ· Τέων γὰρ μέσον εἶναι Ἰωνίης. τὰς δὲ ἄλλας πόλιας οἰκεομένας, μηδὲν ἧσσον νομίζεσθαι, κατάπερ εἰ δῆμοι εἶεν. οὕτω μὲν δὴ σφι γνώμας τοιάσδε ἀπεδέξαντο.

вахъ, устрашась сего, сами собою сдалися Киру.

CLXX. Пораженные таковымъ несчастіемъ Іоняне собрались въ Паніоніонскій Совѣтъ, въ коемъ, какъ слышу, Віантъ, гражданинъ Пріинейскій, подалъ наиполезнѣйшее для нихъ мнѣніе, коему если бы они послѣдовали, благоденствовали бы больше всѣхъ Эллиновъ. Онъ совѣтовалъ имъ „всѣмъ флотомъ поднявшись плыть въ Сардинію и тамъ построить городъ, одинъ для всѣхъ Іонянъ. Такимъ образомъ, освободясь отъ рабства, говорилъ Віантъ, будутъ жить благополучно, обладая величайшимъ изъ всѣхъ острововъ и другими повелѣвая. Если же останутся въ Іоніи, то онъ не видитъ, какъ могутъ они сохранить свободу.“ Таково было мнѣніе Віанта, когда дѣла Іонянъ пришли въ разстройство. Полезно также было мнѣніе и Ѳалеса Милисійскаго, бывшаго родомъ изъ Финикіи, предложенное имъ еще до паденія Іоніи. Онъ совѣтовалъ Іонянамъ учредить одинъ общій Совѣтъ, который собирался бы въ городѣ Теосѣ; ибо Теосъ лежитъ въ средоточіи Іоніи; прочимъ же городамъ, какъ отдѣльнымъ, ничто не мѣшало бы управляться своими законами. Столько-то мудрые совѣты предложены были Іонянамъ.

171. Ἄρπαγος δὲ καταστρεψάμενος Ἰωνίην, ἐποιέετο στρατηίην ἐπὶ Κᾶρας καὶ Καυνίους καὶ Λυκίους, ἅμα ἀγόμενος καὶ Ἴωνας καὶ Αἰολέας. εἰσὶ δὲ τούτων Κᾶρες μὲν ἀπιγμένοι ἐς τὴν ἤπειρον ἐκ τῶν νήσων. τὸ γὰρ παλαιὸν ἐόντες Μίνω τε κατήκοοι, καλεόμενοι Λέλεγες, εἶχον τὰς νήσους, Φόρον μὲν οὐδένα ὑποτελέοντες, ὅσον καὶ ἐγὼ δυνατός εἰμι μακρότατον ἐξικέσθαι ἀκοῇ· οἱ δὲ, ὅκως Μίνως δέοιτο, ἐπλήρουν οἱ τὰς νέας ἅτε δὴ Μίνῳ κατεστραμμένῳ γῆν πολλὴν, καὶ εὐτυχέοντος τῷ πολέμῳ, τὸ Καρικὸν ἦν ἔθνος λογιμώτατον τῶν ἐθνέων ἁπάντων κατὰ τοῦτον ἅμα τὸν χρόνον μαχρῷ μάλιστα. καί σφι τριξὰ ἐξευρήματα ἐγένετο, τοῖσι οἱ Ἕλληνες ἐχρήσαντο. καὶ γὰρ ἐπὶ τὰ κράνεα λόφους ἐπιδέεσθαι Κᾶρές εἰσι οἱ καταδέξαντες, καὶ ἐπὶ τὰς ἀσπίδας τὰ σημήια ποιέεσθαι· καὶ ὄχανα ἀσπίσι οὗτοί εἰσι οἱ ποιησάμενοι πρῶτοι· τέως δὲ ἄνευ ὀχάνων ἐφόρεον τὰς ἀσπίδας πάντες οἵπερ ἐώθεισαν ἀσπίσι χρέεσθαι, τελαμῶσι σκυτίνοισι οἰηχίζοντες, περὶ τοῖσι αὐχέσι τε καὶ τοῖσι ἀριστεροῖσι ὤμοισι περιχείμενοι. μετὰ δὲ, τοὺς Κᾶρας χρόνῳ ὕστερον πολλῷ Δωριέες τε καὶ Ἴωνες ἐξανέστησαν ἐκ τῶν νήσων· καὶ ὅτω ἐς τὴν ἤπειρον ἀπίκοντο. κατὰ μὲν δὴ Κᾶρας ὅτω Κρῆτες λέγουσι γενέσθαι. οὐ μέν τοι αὐτοί γε ὁμολογέουσι τούτοισι οἱ Κᾶρες· ἀλλὰ νομίζουσι αὐτοὶ ἑωυτοὺς

CLXXI. Арпагъ, покоривъ Іонію, пошелъ на Карійцевъ, Кавніянъ и Ликіянъ, ведя вмѣстѣ съ собою Іонянъ и Эолянъ. Карійцы перешли на матерую землю съ острововъ. Прежде, бывъ подвластными Миносу и называясь Лелегами, обитали они на островахъ, не платя никакой дани, сколько я могъ узнать, проникая въ отдаленнѣйшія времена; но коль скоро Миносъ имѣлъ въ нихъ надобность, они тотчасъ садились на его корабли. Во время Миноса, покорившаго себѣ многія земли и счастливаго въ войнѣ, Карійскій народъ почитался отличнѣйшимъ изъ всѣхъ прочихъ народовъ. Они виновники трехъ изобрѣтеній, которыя переняли у нихъ Эллины. Карійцы первые начали носить на шлемахъ перья, дѣлать на щитахъ знаки, и придѣлывать къ щитамъ рукояти; ибо всѣ употреблявшіе щиты обыкновенно носили ихъ безъ рукоятей, дѣйствуя оными посредствомъ кожаныхъ ремней, около шеи и лѣваго плеча висящихъ. Потомъ, спустя много времени, Карійцы прогнаны были съ острововъ Дорійцами и Іонянами, и такимъ образомъ перешли на матерую землю. Такъ Критяне повѣствуютъ о Карійцахъ; но сами они въ томъ съ ними не согласны. Они говорятъ, что съ самаго начала жили они на материй землѣ

εἶναι αὐτόχθονας ἠπειρώτας, καὶ τῷ ὀνόματι τῷ αὐτῷ ἀεὶ διαχρεωμένους τῷπερ νῦν. ἀποδεικνῦσι δὲ ἐν Μυλάσσοισι Διὸς Καρίου ἱρὸν ἀρχαῖον, τοῦ Μυσοῖσι μὲν καὶ Λυδοῖσι μέτεσι, ὡς χασιγνήτοισι ἐοῦσι τοῖσι Καρσί. τὸν γὰρ Λυδὸν καὶ τὸν Μυσὸν λέγεσι εἶναι Καρὸς ἀδελφεούς. τούτοισι μὲν δὴ μέτεσι· ὅσοι δὲ ἐόντες ἄλλου ἔθνεος, ὁμόγλωσσοι τοῖσι Καρσὶ ἐγένοντο, τούτοισι δὲ οὐ μέτα.

172. Οἱ δὲ Καύνιοι, αὐτόχθονες, δοκέειν ἐμοὶ, εἰσί. αὐτοὶ μέντοι ἐκ Κρήτης Φασὶ εἶναι. προσχεχωρήκασι δὲ γλῶσσαν μὲν πρὸς τὸ Καρικὸν ἔθνος, ἢ οἱ Κᾶρες πρὸς τὸ Καυνικόν· τοῦτο γὰρ οὐκ ἔχω ἀτρεκέως διακρῖναι. νόμοισι δὲ χρέωνται κεχωρισμένοισι πολλὸν τῶν τε ἄλλων ἀνθρώπων καὶ Καρῶν. τοῖσι γὰρ κάλλιστόν ἐστι κατ', ἡλικίην τε καὶ Φιλότητα εἰλαδὸν συγγίνεσθαι ἐς πόσιν, καὶ ἀνδράσι καὶ γυναιξὶ καὶ παισί. ἱδρυνθέντων δέ σφι ἱρῶν ξεινικῶν, μετέπειτα ὡς σφι ἀπέδοξε, (ἔδοξε δὲ τοῖσι πατρίοισι μοῦνον χρᾶσθαι θεοῖσι), ἐνδύντες τὰ ὅπλα ἅπαν-

и всегда тѣмъ же именемъ назывались, которое носятъ и нынѣ. Въ доказательство того приводятъ они древній храмъ Зевса Карійскаго, въ странѣ Миласской, общій имъ съ Мисіянами и Лидянами, какъ единокровными Карійцамъ; ибо Лидіецъ и Мисіянинъ, говоряпъ они, суть братья Карійцу; и по сему храмъ у нихъ общій. Прочіе же народы, хотя говоряпъ однимъ съ Карійцами языкомъ, никакаго въ храмѣ томъ участія не имѣюпъ.

CLXXII. Но Кавніяне, по мнѣнію моему, происходятъ изъ той земли, въ которой обитаютъ, хотя сами они почитаютъ себя Критянами; языкъ же они не приблизили къ языку народа Карійскаго, или Карійцы къ Кавнійскому, сего рѣшительно сказать не могу. Впрочемъ законы ихъ гораздо отличны какъ отъ законовъ другихъ народовъ, такъ и отъ Карійскихъ. У нихъ почитается весьма честнымъ дѣломъ, что мужья, и жены и дѣти, по возрастамъ и по дружбѣ, собирались толпами для питья. Прежде соорудили они храмы для боговъ иноземныхъ; потомъ, перемѣнивъ свое мнѣніе, вздумали покланяпься однимъ токмо своимъ богамъ, и для того однажды, надѣвъ на себя оружіе, какъ старики такъ и молодые, поражая копьями воздухъ,

τες Καύνιοι ἠβηδὸν, τύπτοντες δούρασι τὸν ἠέρα, μέχρι οὔρων τῶν Καλυνδικῶν ἔποντο, καὶ ἔφασαν ἐκβάλλειν τοὺς ξεινικὰς θεούς. καὶ οὗτοι μὲν τρόποισι τοιούτοισι χρέωνται.

173. Οἱ δὲ Λύκιοι ἐκ Κρήτης τὸ ἀρχαῖον γεγόνασι· τὴν γὰρ Κρήτην εἶχον τοπαλαιὸν πᾶσαν βάρβαροι· διενειχθέντων δὲ ἐν Κρήτῃ περὶ τῆς βασιλιΐης τῶν Εὐρώπης παίδων, Σαρπηδόνος τε καὶ Μίνω, ὡς ἐπεκράτησε τῇ σάσει Μίνως, ἐξήλασε αὐτόν τε Σαρπηδόνα καὶ τοὺς σαοιώτας αὐτοῦ· οἱ δὲ ἀπωσθέντες, ἀπίκοντο τῆς Ἀσίης ἐς γῆν τὴν Μιλυάδα. τὴν γὰρ νῦν Λύκιοι νέμονται, αὖτη τοπαλαιὸν ἦν Μιλυάς. οἱ δὲ Μιλύαι, τότε Σόλυμοι ἐκαλέοντο. τέως μὲν δὴ αὐτέων Σαρπηδὼν ἦρχε· οἱ δὲ ἐκαλέοντο τόπερ τε ἠνείκαντο οὔνομα, καὶ νῦν ἔτι καλέονται ὑπὸ τῶν περιοίκων οἱ Λύκιοι, Τερμίλαι. ὡς δὲ ἐξ Ἀθηνέων Λύκος ὁ Πανδίονος, ἐξελαθεὶς καὶ οὗτος ὑπὸ τοῦ ἀδελφεοῦ Αἰγέως, ἀπίκετο ἐς τοὺς Τερμίλας παρὰ Σαρπηδόνα, οὕτω δὴ κατὰ τοῦ Λύκου τὴν ἐπωνυμίην Λύκιοι ἀνὰ χρόνον ἐκλήθησαν. νόμοισι δὲ, τὰ μὲν Κρητικοῖσι, τὰ δὲ Καρικοῖσι χρέωνται. ἓν δὲ τόδε ἴδιον νενομίκασι,

какъ бы кого выгоняли, пробѣжали даже до горъ Калиндскихъ, говоря, будьто выгоняютъ иноспранныхъ боговъ. Таковы обычаи у Кавніянъ.

CLXIII. Ликіяне издревле почитаются выходцами изъ Крита; ибо въ древнія времена весь островъ сей занятъ былъ Варварами. Когда же въ Критѣ сыновья Европы Сарпидонъ и Миносъ спорили о царской власти; Миносъ, одержавъ надъ братомъ своимъ поверхность, прогналъ Сарпидона съ его соумышленниками. Тогда изгнанники прибыли въ землю Миліаду, лежащую въ Азіи: ибо земля обитаемая нынѣ Ликіянами, древле называлась Миліадою. Милійцы же назывались тогда Солимами; но во время царствованія въ сей странѣ Сарпидона, они именовались Термилами, подъ коимъ именемъ Ликіяне и нынѣ извѣстны у сопредѣльныхъ имъ народовъ. Наконецъ, когда Ликосъ, сынъ Пандіона, также изгнанъ былъ изъ Аѳинъ братомъ своимъ Эгеемъ, и прибылъ въ Термилы къ Сарпидону: то отъ имени его, въ послѣдствіи времени, наименованы *Ликіянами*. Законы употребляютъ они частію Критскіе, частію Карійскіе; одинъ однакожъ имѣютъ собственный, не заимствованный ни отъ кого: назы-

καὶ οὐδαμοῖσι ἄλλοισι συμφέρονται ἀνθρώπων· καλέσσι ἀπὸ τῶν μητέρων ἑωυτούς, καὶ οὐχὶ ἀπὸ τῶν πατέρων. εἰρομένου δὲ ἑτέρου τὸν πλησίον, τίς εἴη, καταλέξει ἑωυτὸν μητρόθεν, καὶ τῆς μητρὸς ἀνανεμέεται τὰς μητέρας. καὶ ἢν μέν γε γυνὴ ἀσὴ δούλῳ συνοικήσῃ, γενναῖα τὰ τέκνα νενόμισαι· ἢν δὲ ἀνὴρ ἀσὸς, καὶ ὁ πρῶτος αὐτέων, γυναῖκα ξείνην ἢ παλλακὴν ἔχῃ, ἄτιμα τὰ τέκνα γίνεται.

174. Οἱ μέν νυν Κᾶρες ὐδὲν λαμπρὸν ἔργον ἀποδεξάμενοι, ἐδουλώθησαν ὑπὸ Ἁρπάγου· οὔτε αὐτοὶ οἱ Κᾶρες ἀποδεξάμενοι ὐδὲν, ἔτε ὅσοι Ἑλλήνων ταύτην τὴν χώρην οἰκέουσι. οἰκέουσι δὲ καὶ ἄλλοι, καὶ Λακεδαιμονίων ἄποικοι Κνίδιοι, τῆς χώρης τῆς ὀφετέρης τετραμμένης ἐς πόντον, τὸ δὴ Τριόπιον καλέεται. ἀργμένης δὲ ἐκ τῆς Χερσονήσου τῆς Βυβασσίης, ἐούσης τε πάσης τῆς Κνιδίης, πλὴν ὀλίγης, περιῤῥόου· (τὰ μὲν γὰρ αὐτῆς πρὸς βορῆν ἄνεμον, ὁ Κεραμεικὸς κόλπος ἀπείργει· τὰ δὲ πρὸς νότον, ἡ κατὰ Σύμην τε καὶ Ῥόδον θάλασσα), τὸ ὢν δὴ ὀλίγον τοῦτο, ἐὸν ὅσον τε ἐπὶ πέντε σάδια, ὤρυσσων οἱ Κνίδιοι, ἐν ὅσῳ Ἅρπαγος τὴν Ἰωνίην κατε-

ваюпъ себя не по отцамъ, но по матерямъ. Если кто спроситъ у другаго, кто онъ: то сей отвѣчать будетъ ему, что онъ сынъ такой-то матери и припомнитъ имена прежнихъ матерей своей матери. — Если гражданка выдетъ за раба, дѣти признаются благородными. Если же гражданинъ, также и первый изъ нихъ, имѣетъ жену иностранку или наложницу: дѣти почитаются неблагородными.

CLXXIV. Впрочемъ Карійцы порабощены Арпагомъ, не оказавъ никакаго знаменитаго дѣянія. Но не только они ничего не сдѣлали достопамятнаго; даже ни одинъ Эллинскій народъ, изъ обитающихъ въ сей странѣ. Обитаютъ же въ ней какъ другіе народы, такъ и Книдяне, Лакедемонскіе поселенцы, коихъ земля лежитъ близъ моря и называется Тріопіономъ. Область сія начинается отъ полуострова Вивассіи и вся, изключая небольшаго пространства, окружена моремъ: съ сѣверной стороны заключается заливомъ Керамическимъ; а съ южной, моремъ Симскимъ и Родосскимъ. Сіе небольшое пространство, содержащее въ себѣ почти не болѣе пяти стадій, Книдяне въ то время, какъ Арпагъ раззорялъ Іонію, предприняли прокопать, дабы

σρέφετο, βυλόμενοι νῆσον τὴν χώρην ποιῆσαι. ἐντὸς δὲ πᾶσά σφι ἐγένετο· τῇ γὰρ ἡ Κνιδίη χώρη ἐς τὴν ἤπειρον τελευτᾷ, ταύτῃ ὁ ἰσθμός ἐσι τὸν ὤρυσσον. καὶ δὴ πολλῇ χειρὶ ἐργαζομένων τῶν Κνιδίων· μᾶλλον γάρ τι καὶ θειότερον ἐφαίνοντο τιτρώσκεσθαι οἱ ἐργαζόμενοι τοῦ οἰκότος τά τε ἄλλα τοῦ σώματος, καὶ μάλισα τὰ περὶ τὺς ὀφθαλμούς, θρανομένης τῆς πέτρης ἔπεμπον ἐς Δελφοὺς θεοπρόπυς ἐπερησομένυς τὸ ἀντίζοον. ἡ δὲ Πυθίη σφι, ὡς αὐτοὶ Κνίδιοι λέγυσι, χρᾷ ἐν τριμέτρῳ τόνῳ τάδε·

Ἰσθμὸν δὲ μὴ πυργοῦτε, μήδ' ὀρύσσετε·
Ζευὺς γάρ κ' ἔθηκε νῆσον, εἰ κ' ἐβούλετο.

Κνίδιοι μὲν, ταῦτα τῆς Πυθίης χρησάσης, τοῦ τε ὀρύγματος ἐπαύσαντο, καὶ Ἁρπάγῳ ἐπιόντι σὺν τῷ στρατῷ, ἀμαχητὶ σφέας αὐτοὺς παρέδοσαν.

175. Ἦσαν δὲ Πηδασέες οἰκοῦντες ὑπὲρ Ἁλικαρνασσοῦ μεσόγαιαν· τοῖσι ὅκως τι μέλλοι ἀνεπιτήδεον ἔσεσθαι, αὐτοῖσί τε καὶ τοῖσι περιοίκοισι, ἡ ἱερείη τῆς Ἀθηναίης πώγωνα μέγαν ἴσχει. τρὶς σφι τοῦτο ἐγένετο. οὗτοι τῶν περὶ

мѣсто сіе сдѣлать островомъ. Тогда все владѣніе ихъ находилось бы на семъ островѣ, поелику земля Книдская граничитъ съ материкомъ только тамъ, гдѣ находится сей перешеекъ, которой они раскапывали. Великое множество рукъ человѣческихъ занималось сими работами, какъ вдругъ замѣчено было, что работники, особливо ломавшіе скалу, поранены въ разныхъ частяхъ тѣла, и наипаче въ глазахъ, такъ что, какъ казалось, не безъ содѣйствія боговъ сіе дѣлается. Почему, отправлены были къ Дельфійцамъ повѣренные, вопросить прорицалище, что такое препятствуетъ имъ въ работахъ. Пиѳія, по увѣренію самихъ Книдянъ, отвѣчала имъ проемѣрнымъ тономъ слѣдующее:

„Не возвышайте твердынь на перешейкѣ
и не копайте его. Если бы Зевсъ хотѣлъ сдѣлать островъ, то сдѣлалъ бы.“

Получивъ сей отвѣтъ отъ Пиѳіи, Книдяне оставили свою работу, и Арпагу, пришедшему къ нимъ съ войскомъ, сдались безъ всякаго сраженія.

CLXXV. На средиземіи выше Аликарнаса живутъ Пидасеяне. Когда имъ и сосѣдамъ ихъ угрожаетъ какое несчастіе; то у жрицы богини Аѳины всегда выростаетъ длинная борода: это случалось у нихъ три раза. Сей

Καρίην ἀνδρῶν μξνοί τε ἀντέσχον χρόνον Ἁρπάγῳ, καὶ πρήγματα παρέσχον πλεῖσα, ὄρος τειχίσαντες, τῷ οὔνομά ἐσι Λίδη.

176. Πηδασέες μέν νυν χρόνῳ ἐξαιρέθησαν· Λύκιοι δέ, ὡς ἐς τὸ Ξάνθιον πεδίον ἤλασε ὁ Ἅρπαγος τὸν ερατὸν, ὑπεξιόντες, καὶ μαχόμενοι ὀλίγοι πρὸς πολλοὺς, ἀρετὰς ἀπεδείκνυντο· ἐσσωθέντες δέ, καὶ κατειληθέντες ἐς τὸ ἄσυ, συνήλισαν ἐς τὴν ἀκρόπολιν τάς τε γυναῖκας καὶ τὰ τέκνα καὶ τὰ χρήματα καὶ τοὺς οἰκέτας· καὶ ἔπειτα ὑπῆψαν τὴν ἀκρόπολιν πᾶσαν ταύτην καίεσθαι. ταῦτα δὲ ποιήσαντες καὶ συνομόσαντες ὅρκους δεινούς. ὑπεξελθόντες ἀπέθανον πάντες Ξάνθιοι μαχόμενοι. τῶν δὲ νῦν Λυκίων Φαμένων Ξανθίων εἶναι, οἱ πολλοὶ, πλὴν ὀγδώκοντα ἰσιέων, εἰσὶ ἐπήλυδες· αἱ δὲ ὀγδώκοντα ἰσιέων, εἰσὶ ἐπήλυδες· αἱ δὲ ὀγδώκοντα ἰσίαι αὗται ἔτυχον τηνικαῦτα ἐκδημέουσαι, καὶ οὕτω περιεγένοντο. τὴν μὲν δὴ Ξάνθον οὕτως ἔσχε ὁ Ἅρπαγος. παραπλησίως δὲ καὶ τὴν Καῦνον ἔσχε. καὶ γὰρ οἱ Καύνιοι τοὺς Λυτίους ἐμιμήσαντο τὰ πλέω.

177. ΤΑ μέν νυν κάτω τῆς Ἀσίης Ἅρπαγος ἀνάσατα ἐποίεε· τὰ δὲ ἄνω αὐτῆς, αὐτὸς

народъ, одинъ изъ всѣхъ обитавшихъ въ Каріи, нѣсколько времени противился Арпагу и много безпокоилъ его, укрѣпивъ спѣною гору Лиду. Однако и Пидасеяне со временемъ были завоеваны.

CLXXVI. Ликіяне же, когда Арпагъ выставилъ войско на Ксанѳійскихъ поляхъ, вышли противъ него, и, не смотря на гораздо меньшее число своихъ воиновъ, сражались храбро. Однако, бывъ побѣждены и загнаны въ городъ, собрали въ крѣпость женъ, дѣтей, невольниковъ и все имущеетво свое, зажгли крѣпость, чтобы все сіе сгорѣло. Потомъ, Ксанѳяне, поклявшись другъ другу въ единодушіи, паки выступили противъ непріятеля и, сражаясь, всѣ погибли. Такимъ образомъ многіе изъ Ликіянъ, нынѣ называющихъ себя Ксанѳянами, суть пришельцы, выключая восьмидесяти сѣмействъ, кои въ то время случайно были въ отлучкѣ, и чрезъ то остались въ живыхъ. Симъ образомъ Арпагъ покорилъ себѣ Ксанѳъ; такимъ же образомъ овладѣлъ и Кавномъ; ибо и Кавняне большею частію подражали Ликіянамъ.

CLXXVII. Между тѣмъ какъ Арпагъ покорялъ нижнюю Азію, самъ Киръ велъ войну въ Азіи верхней, приводя подъ власть свою

Κῦρος, πᾶν ἔθνος καταστρεφόμενος, καὶ οὐδὲν παριείς. τὰ μέν νυν αὐτέων πλέω παρήσομεν· τὰ δὲ οἱ παρέσχε πόνον τε πλεῖσον, καὶ ἀξιοπηγητότατά ἐσι, τούτων ἐπιμνήσομαι. Κῦρος ἐπεί τε τὰ πάντα τῆς ἠπείρου ὑποχείρια ἐποιήσατο, Ἀσσυρίοισι ἐπετίθετο.

178. Τῆς δὲ Ἀσσυρίης ἐσὶ τὰ μέν κου καὶ ἄλλα πολίσματα μεγάλα πολλά· τὸ δὲ ὀνομαστότατον καὶ ἰσχυρότατον, καὶ ἔνθά σφι, τῆς Νίνου ἀνασάτου γενομένης, τὰ βασιλήϊα κατεσήκεε, ἦν ΒΑΒΥΛΩΝ, ἐοῦσα τοιαύτη δή τις πόλις· κέεται ἐν πεδίῳ μεγάλῳ, μέγαθος ἐοῦσα μέτωπον ἔχασον, εἴκοσι καὶ ἑκατὸν σαδίων, ἐύσης τετραγώνου· οὗτοι σάδιοι τῆς περιόδου τῆς πόλιος γίνονται συνάπαντες ὀγδώκοντα καὶ τετρακόσιοι. τὸ μέν νυν μέγαθος τοσοῦτόν ἐσι τοῦ ἄστεος τοῦ Βαβυλωνίου. ἐκεκόσμητο δὲ ὡς οὐδὲν ἄλλο πόλισμα τῶν ἡμεῖς ἴδμεν. τάφρος μὲν πρῶτά μιν βαθέα τε καὶ εὐρέα καὶ πλέη ὕδατος περιθέει· μετὰ δὲ, τεῖχος πεντήκοντα μὲν πηχέων βασιληΐων εὖρος τὸ εὖρος, ὕψος δὲ, διηκοσίων πηχέων, ὁ δὲ βασιλήϊος πῆχυς τοῦ μετρίου ἐσὶ πήχεος μέζων τρισὶ δαχτύλοισι.

179. Δεῖ δή με πρὸς τούτοισι ἐπιφράσαι, ἵνα τε ἐκ τῆς τάφρου ἡ γῆ ἀναισιμώθη, καὶ τὸ τεῖχος ὅντινα τρόπον ἔργασο. ὀρύσσοντες ἅμα τὴν

всѣхъ народовъ безъ исключенія. Большую часть его дѣяній пройдемъ молчаніемъ; упомянемъ только о тѣхъ, которыя стоили ему величайшаго труда и о достопамятнѣйшихъ.

CLXXVIII. Киръ, покоривъ своей власти всю матерую землю малой Азіи, пошелъ на Ассиріянъ. Въ Ассиріи много великихъ городовъ; знаменитѣйшій же и сильнѣйшій всѣхъ, въ коемъ, по разрушеніи Ниневіи, находилась царская столица, былъ *Вавилонъ*. Вотъ его описаніе.

Городъ сей лежитъ на обширной равнинѣ; видъ имѣетъ четыреугольный, коего каждый бокъ мѣрою во сторадцать стадій: такимъ образомъ вся окружность города составляетъ четыреста весемдесятъ стадій. Такова величина города Вавилона; онъ украшенъ такъ, что мы не знаемъ никакаго другаго города, ему подобнаго. Сперьва обведенъ онъ глубокимъ, широкимъ и наполненнымъ водою рвомъ; потомъ, стѣною, коея ширина имѣетъ пятдесятъ царскихъ лактей, а высота двѣсти; царскій же лакоть больше обыкновеннаго тремя дюймами (перстами).

CLXXIX. При семъ надобно сказать, на что употреблена была земля, вырытая изъ рва и какимъ образомъ выстроена стѣна. По мѣрѣ того какъ рыли ровъ, изъ земли, выно-

τάφρον, ἐπλίνθευον τὴν γῆν ἐκ τοῦ ὀρύγματος ἐκφερομένην· ἑλκύσαντες δὲ πλίνθους ἱκανὰς, ὤπτησαν αὐτὰς ἐν καμίνοισι· μετὰ δὲ, τέλματι χρεώμενοι ἀσφάλτῳ θερμῇ καὶ διὰ τριήκοντα δόμων πλίνθου ταρσοὺς καλάμων διαστοιβάζοντες, ἔδειμαν πρῶτα μὲν τῆς τάφρου τὰ χείλεα· δεύτερα δὲ, αὐτὸ τὸ τεῖχος τὸν αὐτὸν τρόπον. ἐπάνω δὲ τοῦ τείχεος παρὰ τὰ ἔσχατα, οἰκήματα μθνόχωλα ἔδειμαν, τετραμμένα ἐς ἄλληλα· τὸ μέσον δὲ τῶν οἰκημάτων ἔλιπον τεθρίππῳ περιέλασιν. πύλαι δὲ ἐνεσᾶσι πέριξ τοῦ τείχεος ἑκατὸν, χάλκεαι πᾶσαι. καὶ σαθμοί τε καὶ ὑπέρθυρα ὡσαύτως. ἔστι δὲ ἄλλη πόλις ἀπέχουσα ὁκτὼ ἡμερέων ὁδὸν ἀπὸ Βαβυλῶνος· Ἶς οὔνομα αὐτῇ. ἔνθα ἐστὶ ποταμὸς οὐ μέγας· Ἶς καὶ τῷ ποταμῷ τὸ ὄνομα· ἐσβάλλει δὲ ὗτος ἐς τὸν Εὐφρήτην ποταμὸν τὸ ῥέεθρον. οὗτος ὢν ὁ Ἶς ποταμὸς, ἅμα τῷ ὕδατι θρόμβους ἀσφάλτου ἀναδιδοῖ πολλούς· ἔνθεν ἡ ἄσφαλτος ἐς τὸ ἐν Βαβυλῶνι τεῖχος ἐκομίσθη.

180. Ἐτετείχιστο μέν νυν ἡ Βαβυλὼν τρόπῳ τοιῷδε. ἔστι δὲ δύο Φάρσεα τῆς πόλιος, τὸ γὰρ μέσον αὐτῆς ποταμὸς διείργει, τῷ οὔνομά ἐστι Εὐφρήτης· ῥέει δὲ ἐξ Ἀρμενίων, ἐὼν μέγας, καὶ βαθὺς, καὶ ταχύς· ἐξίει δὲ ὗτος ἐς τὴν Ἐρυθρὴν

симой изъ него, дѣлали кирпичъ, и приготовивъ достаточное количество онаго, обжигали его въ печахъ. Потомъ, употребляя вмѣсто извести теплый асфальтъ и перекладывая каждый слой въ тридцать кирпичей тростникомъ, сперва обстроивали края рва, потомъ, такимъ же образомъ строили и самую стѣну. Сверьху стѣны по краямъ строили смежныя башенки, одну къ другой обращенныя; а на срединѣ оставляли пространства столько, чтобъ можно было проѣхать колесницѣ, запряженной четырьмя лошадьми. Въ окружности стѣны построено сто воротъ, всѣ мѣдныя, съ таковыми же вереями и косяками. На восемь дней пути отъ Вавилона есть другой городъ, по имени Исъ; въ немъ протекаетъ небольшая рѣка того же имени, впадающая въ Эвфратъ. Сія-то рѣка вмѣстѣ съ водами своими приноситъ великое множество глыбъ асфальта; откуда оный и привозимъ былъ для сооруженія стѣны въ Вавилонѣ.

CLXXX. Симъ образомъ городъ Вавилонъ огражденъ былъ стѣною. Его раздѣляетъ на двѣ главныя части рѣка Эвфратъ, протекающая по срединѣ онаго. Рѣка сія вытекаетъ изъ Арменіи; она широка, глубока и быстра; впадаетъ въ Чермное море (Эриѳрейское). И

θάλασσαν. τὸ ὦν δὴ τεῖχος ἑκάτερον τοὺς ἀγκῶνας ἐς τὸν ποταμὸν ἐλήλαται. τὸ δὲ ἀπὸ τούτου αἱ ἐπικαμπαὶ παρὰ χεῖλος ἑκάτερον τοῦ ποταμοῦ, αἱμασιὴ πλίνθων ὀπτέων παρατείνει· τὰ δὲ ἄσυ αὐτὸ ἔὸν πλῆρες οἰκιέων τριωρόφων τε καὶ τετρωρόφων, κατατέτμηται τὰς ὁδοὺς ἰθείας, τάς τε ἄλλας, καὶ τὰς ἐπικαρσίας τὰς ἐπὶ τὸν ποταμὸν ἐχούσας. κατὰ δὴ ὦν ἑκάστην ὁδὸν ἐν τῇ αἱμασιῇ τῇ παρὰ τὸν ποταμὸν πυλίδες ἐπῆσαν, ὅσαιπερ αἱ λαῦραι, τοσαῦται ἀριθμόν. ἦσαν δὲ καὶ αὗται χάλκεαι, φέρουσαι καὶ αὐταὶ ἐς αὐτὸν τὸν ποταμόν.

181. Τοῦτο μὲν δὴ τὸ τεῖχος θώρηξ ἐστί. ἕτερον δὲ ἔσωθεν τεῖχος περιθεῖ, οὐ πολλῷ τέῳ ἀσθενέστερον τοῦ ἑτέρου τείχεος, σεινότερον δέ. ἐν δὲ Φάρσει ἑκατέρῳ τῆς πόλιος ἐτετείχιστο ἐν μέσῳ, ἐν τῷ μὲν, τὰ βασιλήια, περιβόλῳ μεγάλῳ τε καὶ ἰσχυρῷ· ἐν δὲ τῷ ἑτέρῳ, Διὸς Βήλου ἱρὸν χαλκόπυλον, καὶ ἐς ἐμὲ τοῦτο ἔτι ἐὸν, δύο σαδίων πάντη, ἐὸν τετράγωνον. ἐν μέσῳ δὲ τοῦ ἱροῦ πύργος σερεὸς οἰκοδόμηται, σαδίου καὶ τὸ μῆκος καὶ τὸ εὖρος· καὶ ἐπὶ τούτῳ τῷ πύργῳ ἄλλος πύργος ἐπιβέβηκε, καὶ ἕτερος μάλα ἐπὶ τούτῳ, μέχρις ὀκτὼ πύργων. ἀνάβασις δὲ ἐς αὐτοὺς ἔξωθεν κύκλῳ περὶ πάντας τοὺς πύργους

такъ стѣна ограды обоими своими концами примыкаетъ къ рѣкѣ, откуда ~~такъ~~ склоняясь по обоимъ берегамъ рѣки простирается къ каменному строенію, также изъ жженныхъ кирпичей сооруженному. Самый же городъ исполненъ домовъ прехъ и четырехъ-этажныхъ; раздѣленъ на улицы, прямою линіею проведенныя, какъ другія, такъ и поперечныя, идущія къ рѣкѣ. Отъ каждой улицы при каменной набережной находится столько небольшихъ воротъ, сколько улицъ; ворота сіи также мѣдныя и ведутъ къ самой рѣкѣ.

CLXXXI. И такъ стѣна сія служитъ бронею Вавилону. Сверхъ того въ равномъ разстояніи построена другая внутренняя стѣна, не многимъ чѣмъ уступающая первой въ крѣпости, но уже сей послѣдней. По срединѣ каждой изъ двухъ частей, на кои городъ раздѣляется, находится огромное зданіе; въ одной воздвигнуты царскіе чертоги; въ другой, мѣдноврашная обитель Зевсу Белу, и въ мою жизнь еще существующая; онъ имѣетъ видъ четыреугольный и каждая сторона его простирается на двѣ стадіи. Среди сей обители возвышается крѣпкая башня, имѣющая одну стадію какъ въ длину такъ и въ ширину; на сей башнѣ воздвигнута другая; а на сей опять другая, числомъ до восьми башенъ.

ἔχουσα πεποίηται. μεσοῦντι δέ κου τῆς ἀναβάσιος, ἔσι καταγωγή τε καὶ θῶκοι ἀμπαυσήριοι, ἐν τοῖσι κατίζοντες ἀμπαύονται οἱ ἀναβαίνοντες. ἐν δὲ τῷ τελευταίῳ πύργῳ νηὸς ἔπεσι μέγας· ἐν δὲ τῷ νηῷ κλίνη μεγάλη κέεται εὖ ἐστρωμένη, καὶ οἱ τράπεζα παράκειται χρυσέη. ἄγαλμα δὲ οὐκ ἔνι οὐδὲν αὐτόθι ἐνιδρυμένον· οὐδὲ νύκτα οὐδεὶς ἐναυλίζεται ἀνθρώπων, ὅτι μὴ γυνὴ μούνη τῶν ἐπιχωρίων, τὴν ἂν ὁ θεὸς ἕληται ἐκ πασέων, ὡς λέγουσι οἱ Χαλδαῖοι, ἐόντες ἱρέες τούτου τοῦ θεοῦ.

182. Φασὶ δὲ αὐτοὶ οὗτοι, ἐμοὶ μὲν οὐ πιστὰ λέγοντες, τὸν θεὸν αὐτὸν Φοιτᾶν τε ἐς τὸν νηὸν, καὶ ἀμπαύεσθαι ἐπὶ τῆς κλίνης, κατάπερ ἐν Θήβῃσι τῇσι Αἰγυπτίῃσι κατὰ τὸν αὐτὸν τρόπον, ὡς λέγουσι οἱ Αἰγύπτιοι· καὶ γὰρ δὴ ἐκεῖθι κοιμᾶται ἐν τῷ τοῦ Διὸς τοῦ Θηβαιέος γυνή· ἀμφότεραι δὲ αὗται λέγονται ἀνδρῶν οὐδαμῶν ἐς ὁμιλίην Φοιτᾶν· καὶ κατάπερ ἐν Παταρεῖσι τῆς Λυκίης ἡ πρόμαντις τοῦ θεοῦ, ἐπεὰν γένηται· οὐ γὰρ ὦν αἰεί ἐσι χρηστήριον· αὐτόθι· ἐπεὰν δὲ γένηται. τότε ὦν συγκαταχλῄεται τὰς νύκτας ἔσω ἐν τῷ νηῷ.

183. Ἔσι δὲ τοῦ ἐν Βαβυλῶνι ἱροῦ καὶ ἄλλος κάτω νηός· ἔνθα ἄγαλμα μέγα τοῦ Διὸς ἔνι κατήμενον χρύσεον, καὶ οἱ τράπεζα μεγάλη πα-

Для всхода на башни сіи подѣланы кругомъ снаружи дорожки; по срединѣ сего всхода устроено мѣсто для отдыха, гдѣ есть для восходящихъ скамьи, на коихъ могутъ они сидѣть. На послѣдней башнѣ выстроенъ огромный храмъ, въ коемъ разостлана большая постеля, и близъ нея поставленъ золотый столъ. Но нѣтъ въ семъ храмѣ ни одного ваянія, и никто не ночуетъ въ немъ, кромѣ одной женщины изъ тамошнихъ уроженокъ, которая избирается къ тому Зевсомъ Виломъ, какъ говорятъ Халдеи, жрецы сего бога.

CLXXXII. Сіи же жрецы говорятъ, въ чемъ однакожъ не увѣрятъ меня, будьто сей богъ приходитъ въ этотъ храмъ и покоится на выше упомянутой постелѣ, какъ то бываетъ въ Египетскихъ Ѳивахъ, по словамъ Египтянъ: ибо и тамъ во храмѣ Ѳивскаго Зевса ночуетъ женщина. Впрочемъ ни которая изъ нихъ, какъ сказываютъ, не имѣетъ сообщенія ни съ какимъ мущиною. Подобное учрежденіе находится въ Патарахъ въ Ликіи, когда тамъ бываетъ прорицательница, ~~божія~~; ибо прорицалище тамъ не всегда бываетъ. Но когда бываетъ жрица, всегда по ночамъ заключается во храмѣ съ богомъ.

CLXXXIII. Въ Вавилонскомъ свяшилищѣ есть еще другой храмъ въ низу, гдѣ нахо-

ραχέεται χρυσέη, καὶ τὸ βάθρον οἱ καὶ ὁ θρόνος χρύσεός ἐστι· καὶ ὡς ἔλεγον οἱ Χαλδαῖοι, ταλάντων ὀκταχοσίων χρυσίῳ πεποίηται ταῦτα. ἔξω δὲ τῷ νηῷ, βωμός ἐστι χρύσεος. ἔστι δὲ καὶ ἄλλος βωμὸς μέγας, ὅπῳ θύεται τὰ τέλεα τῶν προβάτων. ἐπὶ γὰρ τοῦ χρυσέῳ βωμῷ οὐκ ἔξεστι θύειν, ὅτι μὴ γαλαθηνὰ μοῦνα. ἐπὶ δὲ τῷ μέζονος βώμῷ καὶ καταγίζουσι λιβανωτῷ χίλια τάλαντα ἔτεος ἑκάστῳ οἱ Χαλδαῖοι, τότε ἐπεὰν τὴν ὁρτὴν ἄγωσι τῷ θεῷ τούτῳ. ἦν δὲ ἐν τῷ τεμένεϊ τούτῳ ἔτι τὸν χρόνον ἐκεῖνον καὶ ἀνδριὰς δυώδεκα πήχεων, χρύσεος, στερεός. ἐγὼ μέν μιν οὐκ εἶδον· τὰ δὲ λέγεται ὑπὸ Χαλδαίων, ταῦτα λέγω. τούτῳ τῷ ἀνδριάντι Δαρεῖος μὲν ὁ Ὑστάσπεος ἐπιβουλεύσας, οὐκ ἐτόλμησε λαβεῖν· Ξέρξης δὲ ὁ Δαρείου ἔλαβε, καὶ τὸν ἱρέα ἀπέκτεινε, ἀπαγορεύοντα μὴ κινέειν τὸν ἀνδριάντα. τὸ μὲν δὴ ἱρὸν τοῦτο ἔτω κεκόσμηται. ἔστι δὲ καὶ ἴδια ἀναθήματα πολλά.

184. Τῆς δὲ Βαβυλῶνος ταύτης πολλοὶ μὲν κου καὶ ἄλλοι ἐγένοντο βασιλῆες, τῶν ἐν τοῖσι Ἀσσυρίοισι λόγοισι μνήμην ποιήσομαι, οἳ τὰ τείχεά τε ἐπεκόσμησαν καὶ τὰ ἱρά· ἐν δὲ δὴ

дился огромное золотое изваяніе Зевса сидящее, предъ коимъ поставленъ золотой столъ, стулъ и скамейка золотыя же. На сіи издѣлія, какъ увѣряютъ Халдеи, употреблено восемсотъ талантовъ сего металла. Внѣ храма находится золотый жертвенникъ; кромѣ его есть еще одинъ большой жертвенникъ, на коемъ приносятся совершеннолѣтнія животныя; ибо на золотомъ жертвенникѣ не позволено ничего приносить въ жертву, кромѣ животныхъ, сосущихъ еще молоко. На большемъ же жертвенникѣ Халдеи ежегодно сожигаютъ тысячу талантовъ ладану, когда совершаютъ богу сему празднество. Нѣкогда въ семъ святилищѣ былъ кумиръ изъ массивнаго золота, вышиною въ двенадцать локтей; я не видалъ его, но говорю то, что слыщалъ о немъ отъ Халдеевъ. Дарій, сынъ Истаспа, сильно желалъ имѣть его, но взять не осмѣлился. Его похитилъ Ксеркъ, убивши жреца, воспящавшаго ему тронуть съ мѣста сего ваянія. Таковы украшенія сего храма; кромѣ того, находится въ ономъ много и частныхъ вкладовъ.

CLXXXIV. Въ Вавилонѣ семъ царствовали многіе Цари; я упомяну объ нихъ въ Исторіи Ассирійской; они-то украсили стѣны и капища. Въ числѣ сихъ Царей были и

καὶ γυναῖκες δύο· ἡ μὲν πρότερον ἄρξασα, τῆς ὕστερον γενεῇσι πέντε πρότερον γενομένη, τῇ ὄνομα ἦν Σεμίραμις. αὕτη μὲν ἀπεδέξατο χώματα ἀνὰ τὸ πεδίον ἐόντα ἀξιοθέητα· πρότερον δὲ ἐώθεε ὁ ποταμὸς ἀνὰ τὸ πεδίον πᾶν πελαγίζειν.

185. Ἡ δὲ δὴ δεύτερον γενομένη ταύτης βασίλεια, τῇ οὔνομα ἦν Νίτωκρις, (αὕτη δὲ συνετωτέρη γενομένη τῆς πρότερον ἀρξάσης), τοῦτο μὲν, μνημοσύνα ἐλίπετο τὰ ἐγὼ ἀπηγήσομαι· τόδε δὲ, τὴν Μήδων ὁρῶσα ἀρχὴν μεγάλην τε καὶ οὐκ ἀτρεμίζουσαν, ἄλλά τε ἀραιρημένα ἄσεα αὐτοῖσι, ἐν δὲ δὴ καὶ τὴν Νῖνον, προεφυλάξατο ὅσα ἐδύνατο μάλιστα. πρῶτα μὲν τὸν Εὐφρήτην ποταμὸν, ῥέοντα πρότερον ἰθὺν, ὃς ὄφι διὰ τῆς πόλιος μέσης ῥέει, τοῦτον, ἄνωθεν διώρυχας ὀρύξασα, ὕτω δή τι ἐποίησε σκολιὸν, ὥστε δὴ τρὶς ἐς τῶν τινὰ κωμέων τῶν ἐν τῇ Ἀσσυρίῃ ἀπιχνέεται ῥέων. τῇ δὲ κώμῃ οὔνομά ἐστι, ἐς τὴν ἀπιχνέεται ὁ Εὐφρήτης, Ἀρδέρικκα. καὶ νῦν οἱ ἂν κομίζωνται ἀπὸ τῆσδε τῆς θαλάσσης ἐς Βαβυλῶνα, καταπλέοντες ἐς τὸν Εὐφρήτην ποταμὸν, τρὶς τε ἐς τὴν αὐτὴν ταύτην κώμην παραγίνονται, καὶ ἐν τρισὶ ἡμέρῃσι. τοῦτο μὲν δὴ

двѣ женщины. Первая, которая царствовала пятью поколѣніями прежде другой, называлась *Семирамидою*. Она устроила славныя плотины на равнинѣ, для удержанія въ своемъ руслѣ рѣки, которая прежде разливалась по всѣмъ полямъ сосѣднимъ.

CLXXXV. Вторая, царствовавшая послѣ Семирамиды Царица, называлась *Нитокрисою*, которая была разумнѣе первой. Она не только оставила по себѣ памятники, о коихъ я упомяну; но и приняла мѣры къ защищенію себя отъ противъ Мидянъ, коихъ власть видѣла она возрастающею, и кои, будучи въ безпрерывномъ дѣйствіи, учинились обладателями многихъ Ассирійскихъ городовъ, между прочимъ и Ниневіи. Сперьва рѣку Эвфратъ, протекающую чрезъ Вавилонъ, которая прежде имѣла прямое теченіе, Нитокриса, вырывъ выше города каналы, сдѣлала столь извивистою, что рѣка сія къ одной изъ Ассирійскихъ деревень три раза теченіемъ своимъ возвращается; деревня сія называется Ардериккою. И нынѣ, кто отъ нашего моря ѣдетъ въ Вавилонъ, тотъ, плывучи рѣкою Эвфратомъ, три раза приѣзжаетъ къ одной и той же деревнѣ, и притомъ въ три дни. Таковое дѣло она сдѣлала. Потомъ на обоихъ берегахъ рѣки насыпала валъ удивительной вы-

τοιῆτο ἐποίησε. χῶμα δὲ παρέχωσε παρ' ἑκάτερον τῆ ποταμῆ τὸ χεῖλος, ἄξιον θωύματος, μέγαθος καὶ ὕψος ὅσον τί ἐσι. κατύπερθε δὲ πολλῷ Βαβυλῶνος ὤρυσσε ἕλυτρον λίμνῃ, ὀλίγον τι παρατείνυσα ἀπὸ τῆ ποταμῆ, βάθος μὲν ἐς τὸ ὕδωρ ἀεὶ ὀρύσσυσα, εὖρος δὲ τὸ περίμετρον αὐτῆ ποιεῦσα εἴκοσί τε καὶ τετρακοσίων σαδίων· τὸν δὲ ὀρυσσόμενον χῆν ἐκ τύτυ τῆ ὀρύγματος ἀναισίμυ παρὰ τὰ χείλεω τῆ ποταμῆ παραχέυσα. ἐπεί τε δέ οἱ ὤρυχτο, λίθυς ἀγαγομένη, κρηπῖδα κύκλῳ περὶ αὐτὴν ἤλασε. ἐποίεε δὲ ἀμφότερα ταῦτα, τόν τε ποταμὸν σκολιόν, καὶ τὸ ὄρυγμα πᾶν, ἕλος· ὡς ὅ, τε ποταμὸς βραδύτερος εἴη, περὶ καμπὰς πολλὰς ἀγνύμενος, καὶ οἱ πλόοι ἐῶσι σκολιοὶ ἐς τὴν Βαβυλῶνα· ἔκ τε τῶν πλόων ἐκδέκηται περίοδος τῆς λίμνης μακρή. κατὰ τῦτο δὲ εἰργάζετο τῆς χώρης τῇ αἵ τε ἐσβολαὶ ἦσαν, καὶ τὰ σύντομα τῆς ἐκ Μήδων ὁδῆ, ἵνα μὴ ἐπιμισγόμενοι οἱ Μῆδοι ἐκμανθάνοιεν αὐτῆς τὰ πρήγματα.

186. Ταῦτα μὲν δὴ ἐκ βάθεος περιεβάλετο· τοιήνδε δὲ ἐξ αὐτῶν παρενθήκην ἐποιήσατο. τῆς πόλιος ἐύσης δύο Φαρσέων, τῆ δὲ ποταμῆ μέσον ἔχοντος, ἐπὶ τῶν πρότερον βασιλέων ὅκως τις ἐξέλοι ἐκ τῆ ἑτέρυ Φάρσιος ἐς τὥτερον διαβῆναι, χρῆν πλοίῳ διαβαίνειν. καὶ ἦν, ὡς

соты и ширины. Гораздо выше Вавилона выкопала водоемъ для озера, нѣсколько уклонясь отъ рѣки, и землю копали до такой глубины, чтобы вода выступила. Сей водоемъ имѣлъ въ окружности четыреста двадцать спадій и вся земля, изъ него вырываемая, употреблялась на устроеніе рѣчныхъ береговъ. Наконецъ, когда водоемъ былъ совершенно выкопанъ, кругомъ укрѣпленъ онъ набережною. Двѣ сіи работы, то есть, изгибъ рѣки и вырытіе озера, имѣло предметомъ вопервыхъ то, чтобъ рѣка текла медленнѣе, прерываясь многими извивинами, и чтобъ суда, идущія въ Вавилонъ, имѣли ходъ косвеннѣе; вовторыхъ то, чтобъ непріятели, приплывъ на корабляхъ, могли встрѣтить длинную около озера излучину. Работы сіи произведены съ той стороны, съ которой было сообщеніе и кратчайшая дорога изъ Мидіи, дабы Мидянъ затруднить узнавать ея дѣла и въ оныя мѣшаться.

CLXXXVI. Такимъ образомъ Нитокриса обложила сіе глубокое водохранилище, въ добавокъ къ той пользѣ, каковую доставила она симъ подвигомъ. Поелику городъ раздѣленъ былъ на двѣ части рѣкою, по срединѣ его протекающею; то, при прежнихъ Царяхъ, не иначе можно было переправляться съ одной

ἐγὼ δοκέω, ὀχληρὸν τῦτο· αὕτη δὲ καὶ τῦτο προεῖδε. ἐπεί τε γὰρ ὥρυσσε τὸ ἔλυτρον τῇ λίμνῃ, μνημόσυνον τόδε ἄλλο ἀπὸ τῦ αὐτῦ ἔργυ ἐλίπετο. ἐτάμνετο· λίθας περιμήκεας· ὡς δέ οἱ ἦσαν οἱ λίθοι ἑτοῖμοι, καὶ τὸ χωρίον ὀρώρυχτο, ἐκτρέψασα τῦ ποταμῦ τὸ ῥέεθρον πᾶν ἐς τὸ ὤρυσσε χωρίον· ἐν τῷ ἐπίμπλατο τῦτο, ἐν τύτῳ ἀποξηρασμένυ τῦ ἀρχαίυ ῥεέθρυ τῦτο μὲν, τὰ χείλεα τῦ ποταμῦ κατὰ τὴν πόλιν καὶ τὰς καταβασίας, τὰς ἐκ τῶν πυλίδων ἐς τὸν ποταμὸν φερύσας, ἀνοικοδόμησε πλίνθοισι ὀπτῇσι, κατὰ τὸν αὐτὸν λόγον τῷ τείχεϊ· τῦτο δὲ, κατὰ μέσην χυ μάλισα τὴν πόλιν, τοῖσι λίθοισι τυὺς ὠρύξατο, οἰκοδόμεε γέφυραν, δέυσα τυὺς λίθυς σιδήρῳ τε καὶ μολίβδῳ. ἐπιτείνεσκε δὲ ἐπ' αὐτὴν, ὅκως μὲν ἡμέρη γένοιτο, ξύλα τετράγωνα. ἐπ' ὧν τὴν διάβασιν ἐποιεῦντο τοὶ Βαβυλώνιοι· τὰς δὲ νύκτας τὰ ξύλα ταῦτα ἀπαιρέεσκον, τοῦδε εἵνεκα, ἵνα μὴ διαφοιτέοντες τὰς νύκτας κλέπτοιεν παρ' ἀλλήλων. ὡς δὲ τό, τε ὀρυχθὲν λίμνη πλήρης ἐγεγόνεε ὑπὸ τῦ ποταμῦ, καὶ τὰ περὶ τὴν γέφυραν ἐκεκόσμητο, τὸν Εὐφρήτην ποταμὸν ἐς τὰ ἀρχαῖα ῥέεθρα ἐκ τῆς λίμνης ἐξάγαγε· καὶ ὕτω τὸ ὀρυχθὲν ἕλος γενόμενον, ἐς δέον ἐδόκεε γεγονέναι, καὶ τοῖσι πολιήτῃσι γέφυρα ἦν κατεσκευασμένη.

стороны на другую, какъ на судахъ, что было, какъ думаю, безпокойно. Нитокриса и сіе неудобство отвратила. По ископаніи для озера водоема, она оставила по себѣ другой памятникъ дѣлъ своихъ. Повелѣла налоmать величайшихъ камней, и когда они были готовы, и мѣсто было вырыто, она все теченіе рѣки совратила въ сіе вырытое мѣсто; по мѣрѣ того, какъ сіе мѣсто наполнялось водою, прежнее русло становилось сухо; въ сіе время не только берега рѣки въ городѣ и спуски, идущіе отъ воротъ въ рѣку, выложены жженымъ кирпичемъ точно такъ, какъ и стѣна; но и среди города выстроенъ изъ наломанныхъ камней мостъ, на каковой конецъ камни связываемы были между собою желѣзомъ и свинцемъ. На мосту днемъ клали четыреугольныя бревна для перехода жителямъ Вавилона; на ночь же бревна сіи снимались, дабы ходящіе по ночамъ не обокрадывали другъ друга. Когда выкопанное для озера мѣсто наполнилось изъ рѣки водою и мостъ приведенъ былъ къ окончанію, Эвфратъ опять введенъ въ прежнее русло изъ озера, и вырытое мѣсто сдѣлалось болотомъ. По должномъ исполненіи сего предпріятія, построенъ для гражданъ мостъ, толико для нихъ необходимый.

187. Ἡ δ' αὐτὴ αὕτη βασίλεια καὶ ἀπάτην τοιήνδέ τινα ἐμηχανήσατο· ὑπὲρ τῶν μάλιστα λεωφόρων πυλέων τῇ ἄξεος, τάφον ἑωυτῇ κατεσκευάσατο μετέωρον ἐπιπολῆς αὐτέων τῶν πυλέων. ἐνεχόλαψε δὲ ἐς τὸν τάφον γράμματα λέγοντα τάδε· ΤΩΝ ΤΙΣ ΈΜΕΥ ΎΣΤΕΡΟΝ ΓΙΝΟΜΕΝΩΝ ΒΑΒΥΛΩΝΟΣ ΒΑΣΙΛΕΩΝ, ΉΝ ΣΠΑΝΙΣΗι ΧΡΗΜΑΤΩΝ, ΆΝΟΙΞΑΣ ΤΟΝ ΤΑΦΟΝ, ΛΑΒΕΤΩ ΌΚΟΣΑ ΒΟΥΛΕΤΑΙ ΧΡΗΜΑΤΑ. ΜΗ ΜΕΝΤΟΙ ΓΕ ΜΗ ΣΠΑΝΙΣΑΣ ΓΕ, ΆΛΛΩΣ ΆΝΟΙΞΗι. Ο'Υ ΓΑΡ ΆΜΕΙΝΟΝ. ὅτος ὁ τάφος ἦν ἀχίνητος, μέχρι ἧς ἐς Δαρεῖον περιῆλθε ἡ βασιλήϊη. Δαρείῳ δὲ καὶ δεινὸν ἐδόκεε εἶναι τῇσι πύλῃσι μηδὲν χρέεσθαι, καὶ χρημάτων κειμένων καὶ αὐτῶν τῶν χρημάτων ἐπικαλεομένων, μὴ οὐ λαβεῖν αὐτά. τῇσι δὲ πύλῃσι ταύτῃσι οὐδὲν ἐχρᾶτο, τοῦδε εἵνεκα, ὅτι ὑπὲρ κέφαλῆς οἱ ἐγένετο ὁ νεκρὸς διεξελαύνοντι. ἀνοίξας δὲ τὸν τάφον, εὗρε χρήματα μὲν οὔ, τὸν νεκρὸν δὲ καὶ γράμματα λέγοντα τάδε· Ε'Ι ΜΗ ΆΠΛΗΣΤΟΣ ΤΕ ΉΕΑΣ ΧΡΗΜΑΤΩΝ ΚΑΙ Α'ΙΣΧΡΟΚΕΡΔΗΣ, Ο'ΤΚ 'ΑΝ ΝΕΚΡΩΝ ΘΗΚΑΣ 'ΑΝΕΩιΓΕΣ. αὕτη μέν νυν ἡ βασίλεια, τοιαύτη τις λέγεται γενέσθαι.

188. Ὁ δὲ δὴ Κῦρος ἐπὶ ταύτης τῆς γυναικὸς τὸν παῖδα ἐστρατεύετο, ἔχοντά τε τῷ πα-

CLXXXVII. Царица сія извѣстна и по нѣкоторому обману, ею выдуманному. На однихъ городскихъ воротахъ, чрезъ кои болѣе всѣхъ ходило народу, она повелѣла на самой вершинѣ оныхъ, соорудить для себя высокую гробницу, на которой вырѣзала слѣдующія слова: *Если кто изъ Вавилонскихъ Царей, будущихъ послѣ меня, нуждаться будетъ въ деньгахъ; да откроетъ гробъ сей и возметъ въ немъ денегъ, сколько ему угодно. Но не имѣя въ нихъ надобности, да не открываетъ онаго. Ибо сіе безполезно будетъ.* Гробъ сей оставался неприкосновеннымъ, доколѣ царство не перешло къ Дарію. Ему тягостно показалось, не дѣлать изъ сихъ воротъ никакаго употребленія, и не завладѣть деньгами, между тѣмъ какъ онѣ сами къ тому вызываютъ. Воротъ же сихъ не употреблялъ онъ ни на что потому, что, во время прохода чрезъ оныя, трупъ находиться долженъ надъ головою. И такъ онъ открылъ гробницу; но денегъ въ ней не нашелъ; а нашелъ трупъ, и слѣдующую надпись: *Если бы ты не былъ ненасытенъ богатствомъ и злокорыстенъ: не сталъ бы открывать убѣжища умершихъ.* Такова, какъ сказываютъ, была сія Царица.

CLXXXVIII. На сына сей-то Царицы, Царя Ассирійскаго, по имени Лавинита, ка-

τρὸς τῦ ἐωϋτῦ τἔνομα Λαβυνήτυ καὶ τὴν Ἀσσυρίων ἀρχήν. στρατεύεται δὲ δὴ βασιλεὺς ὁ μέγας καὶ σιτίοισι ξὺν ἐσκευασμένοισι ἐξ οἴκυ, καὶ προβάτοισι· καὶ δὴ καὶ ὕδωρ ἀπὸ τῦ Χοάσπεω ποταμῦ ἅμα ἄγεται τῦ παρὰ Σῦσα ῥέοντος, τῦ μύνυ πίνει βασιλεύς, καὶ ἄλλυ οὐδενὸς ποταμῦ. τούτυ δὲ τοῦ Χοάσπεω τοῦ ὕδατος ἀπεψημένυ πολλαὶ κάρτα ἅμαξαι τετράκυκλοι ἡμιόνειαι κομίζυσαι ἐν ἀργυρέοισι ἀγγείοισι ἕπονταί οἱ, ὅποι ἂν ἐλαύνῃ ἐκάστοτε.

189. Ἐπεί τε δὲ ὁ Κῦρος πορευόμενος ἐπὶ τὴν Βαβυλῶνα ἐγίνετο ἐπὶ Γύνδῃ ποταμῷ, τῦ αἱ μὲν πηγαὶ ἐν Ματιηνοῖσι οὔρεσι, ῥέει δὲ διὰ Δαρδανέων, ἐκδιδοῖ δὲ ἐς ἕτερον ποταμὸν Τίγριν, ὁ δὲ παρὰ Ὦπιν πόλιν ῥέων ἐς τὴν Ἐρυθρὴν θάλασσαν ἐκδιδοῖ· τῦτον δὴ τὸν Γύνδην ποταμὸν ὡς διαβαίνειν ἐπειρᾶτο ὁ Κῦρος, ἐόντα νηυσὶ περητόν, ἐνθαῦτά οἱ τῶν τις ἱρῶν ἵππων τῶν λευκῶν ὑπὸ ὕβριος ἐσβὰς ἐς τὸν ποταμὸν, διαβαίνειν ἐπειρᾶτο. ὁ δέ μιν συμψήσας, ὑποβρύχιον οἰχώκεε Φέρων. κάρτά τε δὴ ἐχαλέπαινε τῷ ποταμῷ ὁ Κῦρος τούτῳ ὑβρίσαντι, καὶ οἱ ἐπηπείλησε, οὕτω δή μιν ἀσθενέα ποιήσειν, ὥσε τῦ λοιπῦ καὶ γυναῖκάς μιν εὐπετέως, τὸ γόνυ οὐ βρεχύσας, διαβήσεσθαι. μετὰ δὲ τὴν

ковымъ называлея и отецъ его, Киръ ходилъ войною. Великій же Царь ходитъ на войну съ достаточнымъ изъ владѣнія своимъ запасомъ хлѣба и скота; даже возитъ съ собою воду изъ рѣки Хоаспа, протекающей въ Сузѣ, изъ косй одной пьетъ онъ, а больше ни изъ какой рѣки. Съ сею Хоаспскою переваренною водою, налитою въ серебренные сосуды, весьма многія четырехколесныя повозки, запряженныя мулами, слѣдуютъ за Царемъ вездѣ, куда онъ ни поѣдетъ.

CLXXXIX. Киръ, отправившись противъ Вавилона, пришелъ къ рѣкѣ Гинду, коея источники находятся въ горахъ Матіанскихъ. Она протекаетъ страну Дарданскую и впадаетъ въ другую рѣку Тигръ, которая течетъ чрезъ городъ Описъ и впадаетъ въ Черное море. Между тѣмъ какъ Киръ старался переправиться чрезъ рѣку Гиндъ, чрезъ которую не иначе переправляются, какъ на судахъ, одинъ изъ священныхъ бѣлыхъ коней, вырвавшись и прыгая, бросился въ рѣку и хотѣлъ переплыть на другой берегъ; но стремленіе рѣки умчало его и потопило въ своихъ водахъ. Киръ, прогнѣвавшись на ярость рѣки, поклялся сдѣлать ее такъ мѣлкою, что даже женщина въ состояніи будетъ переходить

ἀπειλήν, μετεὶς τὴν ἐπὶ Βαβυλῶνα στράτευσιν, διαίρεε τὴν στρατιὴν δίχα. δειλοὺν δέ, κατέτεινε σχοινοτενέας ὑποδέξας διώρυχας ὀγδώκοντα καὶ ἑκατὸν, παρ' ἑκάτερον τὸ χεῖλος τοῦ Γύνδεω τετραμμένας πάντα τρόπον. διατάξας δὲ τὸν στρατὸν, ὀρύσσειν ἐκέλευε. οἷα δὲ ὁμίλῳ πολλοῦ ἐργαζομένῳ, ἤνετο μὲν τὸ ἔργον, ὅμως μέντοι τὴν θερείην πᾶσαν αὐτοῦ ταύτῃ διέτριψαν ἐργαζόμενοι.

190. Ὡς δὲ τὸν Γύνδην ποταμὸν ἐτίσατο Κῦρος, ἐς τριηκοσίας καὶ ἑξήκοντά μιν διώρυχας διαλαβών, καὶ τὸ δεύτερον ἔαρ ὑπέλαμπε, οὕτω δὴ ἤλαυνε ἐπὶ τὴν Βαβυλῶνα. οἱ δὲ Βαβυλώνιοι ἐκστρατευσάμενοι, ἔμενον αὐτόν. ἐπεὶ δὲ ἐγένετο ἐλαύνων ἀγχοῦ τῆς πόλιος, συνέβαλόν τε οἱ Βαβυλώνιοι, καὶ ἐσσωθέντες τῇ μάχῃ, κατειλήθησαν ἐς τὸ ἄστυ. οἷα δὲ ἐξεπισάμενοι ἔτι πρότερον τὸν Κῦρον ἐκ ἀτρεμίζοντα, ἀλλ' ὁρέοντες αὐτὸν παντὶ ἔθνεϊ ὁμοίως ἐπιχειρέοντα, προεσάξαντο σιτία ἐτέων κάρτα πολλῶν. ἐνθαῦτα οὗτοι μὲν λόγον εἶχον τῆς πολιορκίης οὐδένα. Κῦρος δὲ ἀπορίῃσι ἐνείχετο, ἅτε χρόνου τε ἐγγινομένου συχνοῦ, ἀνωτέρω δὲ οὐδὲν τῶν πρηγμάτων προκοπτομένων.

191. Εἴτε δὴ ὧν ἄλλός οἱ ἀπορέοντι ὑπεθήκατο, εἴτε καὶ αὐτὸς ἔμαθε τὸ ποιητέον οἱ

оную, не замочивши колѣнъ. За угрозою ~~послѣдовало самое дѣло~~. Оставивъ походъ противъ Вавилона, раздѣлилъ войско на двѣ части; попомъ, протянувъ веревки, отъ обоихъ береговъ рѣки назначилъ сто восемдесятъ рвовъ, дабы рѣку Гиндъ высушить совершенно; потомъ разпредѣливъ войско, велѣлъ копать. Такимъ образомъ, съ великимъ множествомъ людей совершилъ свое предпріятіе; однакожъ на работу сіи употреблено было все лѣто.

CXC. Наказавъ рѣку Гиндъ раздѣленіемъ ея на триста шестдесятъ каналовъ, Киръ слѣдующею весною выступилъ въ походъ противъ Вавилона. Вавилоняне, выведши изъ города войско, дожидались его; и коль скоро приближился онъ къ городу, вступили съ нимъ въ сраженіе, но, бывъ побѣждены, прогнаны въ городъ. Они, давно уже вѣдая, что Киръ не останется въ покоѣ, и видя, что онъ нападаетъ на всѣхъ народовъ, снесли въ городъ съѣстные припасы на многіе годы; почему осада для нихъ была не тягостна. Но Киръ находился въ запрудненіи; ибо въ продолженіи многаго времени дѣла его не имѣли никакаго успѣха.

CXCI. По сему, другой ли кто въ его недоумѣніи подалъ ему совѣтъ, или самъ при-

ἦν, ἐποίεε δὴ τοιόνδε· τάξας τὴν στρατιὴν ἅπασαν ἐξ ἐμβολῆς τοῦ ποταμοῦ, τῇ ἐς τὴν πόλιν ἐσβάλλει, καὶ ὄπισθε αὖτις τῆς πόλιος τάξας ἕτερος, τῇ ἐξίει ἐκ τῆς πόλιος ὁ ποταμὸς, προεῖπε τῷ στρατῷ, ὅταν διαβατὸν τὸ ῥέεθρον ἴδωνται γενόμενον, ἐσιέναι ταύτῃ ἐς τὴν πόλιν. οὕτω τε δὴ τάξας, καὶ κατὰ ταῦτα παραινέσας, ἀπήλαυνε αὐτὸς σὺν τῷ ἀχρήϊῳ τοῦ στρατοῦ. ἀπιχόμενος δὲ ἐπὶ τὴν λίμνην, τάπερ ἡ τῶν Βαβυλωνίων βασίλεια ἐποίησε κατά τε τὸν ποταμὸν καὶ κατὰ τὴν λίμνην, ἐποίεε καὶ ὁ Κῦρος ἕτερα τοιαῦτα. τὸν γὰρ ποταμὸν διώρυχι εἰσαγαγὼν ἐς τὴν λίμνην ἑῶσαν ἕλος, τὸ ἀρχαῖον ῥέεθρον διαβατὸν εἶναι ἐποίησε, ὑπονοσήσαντος τοῦ ποταμοῦ. γενομένου δὲ τούτου τοιούτου, οἱ Πέρσαι οἵπερ ἐτετάχατο ἐπ' αὐτῷ τούτῳ κατὰ τὸ ῥέεθρον τοῦ Εὐφρήτεω ποταμοῦ, ὑπονενοσηκότος ἀνδρὶ ὡς ἐς μέσον μηρὸν μάλιστά κη, κατὰ τοῦτο ἐσήεσαν ἐς τὴν Βαβυλῶνα. εἰ μέν νυν προεπύθοντο ἢ ἔμαθον οἱ Βαβυλώνιοι τὸ ἐκ τοῦ Κύρου ποιεύμενον, οὐκ ἂν περιϊδόντες τοὺς Πέρσας ἐσελθεῖν ἐς τὴν πόλιν, διέφθειραν κάκιστα. καταχλήϊσαντες γὰρ ἂν πάσας τὰς ἐς τὸν ποταμὸν πυλίδας ἐχούσας, καὶ αὐτοὶ ἐπὶ τὰς αἰμασιὰς ἀνα-

думалъ, онъ предпринялъ сдѣлать слѣдующее. Расположивъ одну часть своего войска по рѣкѣ тамъ, гдѣ она втекаетъ въ городъ, другую позади города, гдѣ рѣка изъ него выходитъ, приказалъ воинамъ, если увидятъ, что можно персйти ее въ бродъ, войти тѣмъ мѣстомъ въ городъ. Сдѣлавъ таковыя распоряженія и отдавъ повелѣнія, самъ съ плохою частію войска ушелъ къ озеру. Прибывъ туда, онъ сдѣлалъ тоже, что Вавилонская Царица сдѣлала съ рѣкою и озеромъ. Отведши рѣку чрезъ ровъ въ озеро, которое тогда было болотомъ, прежнее русло ея сдѣлалъ удобнымъ для перехода, осушивъ оное. Коль скоро воины увидѣли, что вода изъ Эвфрата ушла и осталось оной столько, что едва касалась она половины бедра человѣческаго; немедленно бросились въ городъ, такъ какъ имъ приказано было. Если бы Вавилоняне или напередъ знали или замѣтили, что такое Киръ предпринималъ: то не попустили бы Персамъ войти въ городъ и не пострадали бы столь бѣдственно. Имъ слѣдовало бы только запереть всѣ ворота, ведущія къ рѣкѣ, и занять набережную, по обоимъ берегамъ ея устроенную; непріятели попались бы къ нимъ, какъ въ вершу. Но Персы напали на нихъ

βάντες τὰς παρὰ τὰ χείλεα τῶ ποτάμῳ ἐλημμέναι, ἔλαβον ἄν-σφεας ὡς ἐν κύρτῳ. νῦν δὲ ἐξ ἀπροσδοκήτου σφι παρέσησαν οἱ Πέρσαι. ὑπὸ δὲ μεγάθεος τῆς πόλιος, ὡς λέγεται ὑπὸ τῶν ταύτῃ οἰκημένων, τῶν περὶ τὰ ἔσχατα τῆς πόλιος ἑαλωκότων, τοὺς τὸ μέσον οἰκέοντας τῶν Βαβυλωνίων, οὐ μανθάνειν ἑαλωκότας, ἀλλὰ (τυγχάνειν γάρ σφι ἑορτὴν ἄγοντες) χορεύειν ἐς τοῦτον τὸν χρόνον, καὶ ἐν εὐπαθείῃσι εἶναι, ἐς ὃ δὴ καὶ τὸ κάρτα ἐπύθοντο. καὶ Βαβυλὼν μὲν οὕτω τότε πρῶτον ἁραίρητο.

192. Τὴν δὲ δύναμιν τῶν Βαβυλωνίων πολλοῖσι μὲν καὶ ἄλλοισι δηλώσω ὅση τίς ἐστι, ἐν δὲ δὴ καὶ τῷδε· βασιλεῖ τῷ μεγάλῳ ἐς τροφὴν αὐτοῦ τε καὶ τῆς στρατιῆς διαιρέηται, πάρεξ τοῦ φόρου, γῆ πᾶσα ὅσης ἄρχει· δυώδεκα ὧν μηνῶν ἐόντων ἐς τὸν ἐνιαυτὸν, τοὺς τέσσερας μῆνας τρέφει μιν ἡ Βαβυλωνίη χώρη· τοὺς δὲ ὀκτὼ τῶν μηνῶν, ἡ λοιπὴ πᾶσα Ἀσίη. οὕτω τριτημοιρίη χώρη τῇ δυνάμει τῆς ἄλλης Ἀσίης, καὶ ἡ ἀρχὴ τῆς χώρης ταύτης, τὴν οἱ Πέρσαι Σατραπηΐην καλέουσι, ἔστι ἀπασέων τῶν ἀρχέων πολλόν τι χρατίστη· ὅκου Τριτανταίχμην τὸν Ἀρταβάζου ἐκ βασιλέως ἔχοντι τὸν νόμον τοῦτον, ἀργυρίου μὲν προσίει ἑκάστης ἡμέρης ἀρτάβη μέτρῳ· ἡ δὲ ἀρτά-

внезапно. При томъ, по обширности города, какъ говорятъ обыватели онаго, когда крайнія части города были взяты, живущіе въ серединѣ онаго не замѣтили, что съ ними дѣлается Случись же сему быть въ праздникъ, когда народъ предавался плескѣ и забавамъ; пока не узналъ своей бѣды. Такимъ-по образомъ взятъ былъ Вавилонъ въ первый разъ.

СХСП. Сколь велико богатство Вавилонянъ, я удостовѣрю въ томъ какъ многими другими доводами, такъ и слѣдующимъ. Вся земля, коею великій Царь управляетъ, кромѣ повинностей, ему платимыхъ, распредѣлена для продовольствія его самаго и войска. Изъ двенадцати мѣсяцевъ, четыре кормитъ его область Вавилонская; а восемь мѣсяцевъ, остальная часть Азіи. Такимъ образомъ, сія Ассирійская страна обладаетъ третьею частію богатства всей Азіи; и правленіе сей страны, называемое Персами Сатрапіею, гораздо превосходнѣе всѣхъ правленій. Тритантехмъ, сынъ Артабаза, коему удѣлъ сей былъ отданъ Царемъ, ежедневно собиралъ съ него полную артабу. *артаба* есть мѣра Персидская, содержащая въ себѣ Аттическую медимну съ третью Аттическими хиниксами.

βη, μέτρον ἐὸν Περσικόν, χωρέει μεδίμνῳ Ἀττικῇς πλέον χοίνιξι τριοὶ Ἀττικῇσι. ἵπποι δέ οἱ αὐτοῦ ἦσαν ἰδίη, πάρεξ τῶν πολεμιστέων, οἱ μὲν ἀναβαίνοντες τὰς θηλέας, ὀκταχόσιοι· αἱ δὲ βαινόμεναι, ἑξακισχίλιαι καὶ μύριαι. ἀνέβαινε γὰρ ἕκαστος τῶν ἐρσένων τεττάρων εἴκοσι ἵππους. κυνῶν δὲ Ἰνδικῶν τοσοῦτον δή τι πλῆθος ἐτρέφετο, ὥστε τέσσερες τὸν τῷ πεδίῳ κῶμαι μεγάλαι, τῶν ἄλλων ἐοῦσαι ἀτελέες, τοῖσι κυσὶ προστετάχατο σιτία παρέχειν. τοιαῦτα μὲν τῷ ἄρχοντι τῆς Βαβυλῶνος ὑπῆρχε ἐόντα.

193. Ἡ δὲ γῆ τῶν Ἀσσυρίων ὕεται μὲν ὀλίγῳ, καὶ τὸ ἐκτρέφον τὴν ῥίζαν τῷ σίτῳ, ἔστι τοῦτο. ἀρδόμενον μέντοι ἐκ τοῦ ποταμοῦ ἀδρύνεταί τε τό λήϊον, καὶ παραγίνεται ὁ σῖτος, οὐ κατάπερ ἐν Αἰγύπτῳ, αὐτοῦ τοῦ ποταμοῦ ἀναβαίνοντος ἐς τὰς ἀρούρας, ἀλλὰ χερσὶ τε καὶ κηλωνηΐοισι ἀρδόμενος. ἡ γὰρ Βαβυλωνίη χώρη πᾶσα, κατάπερ ἡ Αἰγυπτίη, κατατέτμηται ἐς διώρυχας· καὶ ἡ μεγίστη τῶν διωρύχων ἐστὶ νηυσὶ περητός, πρὸς ἥλιον τετραμμένη τὸν χειμερινόν. ἐσέχει δὲ ἐς ἄλλον ποταμὸν ἐκ τοῦ Εὐφρήτεω, ἐς τὸν Τίγριν, παρ' ὅν Νῖνος πόλις οἴκητο. ἔστι δὲ χωρέων αὕτη ἁπασέων μαχρῷ ἀρίστη τῶν ἡμεῖς ἴδμεν, Δήμητρος καρπὸν ἐκφέρειν. τὰ γὰρ δὴ ἄλλα δένδρεα οὐδὲ πειρᾶται ἀρχὴν φέρειν, οὔτε συκέην, οὔτε ἄμπελον, οὔτε ἐλαίην. τὸν δὲ τῆς

Лошадей у него было собственныхъ, кромѣ назначенныхъ для войны, восемсотъ жеребцовъ; а кобылицъ шестнадцать тысячъ; каждый жеребецъ припускался къ двенадцати кобылицамъ. Индійскихъ собакъ содержалось такое множество, что въ полѣ были четыре большія деревни, кои другой подати не платили, кромѣ только что кормили сихъ собакъ. Таковымъ богатствомъ обладалъ повелитель Вавилона.

CXCIII. Въ Ассирійской странѣ мало бываетъ дождя; едва достаточно онаго для разверзанія сѣмянъ хлѣба; онѣ выростаютъ и созрѣваютъ поливкою изъ рѣки, не такъ какъ въ Египтѣ, гдѣ сама рѣка наводняетъ нивы, но поливаются онѣ руками и подъемными машинами. Ибо вся Вавилонская земля изрыта каналами, изъ коихъ величайшій, обращенный къ зимнему Востоку, есть судоходный, и впекаетъ изъ Эвфрата въ рѣку Тигръ, при которой построенъ городъ Ниневія. Вообще страна сія имѣетъ почву самую хлѣбородную, каковая только намъ извѣстна. Но древесныхъ плодовъ даже и зародыша не производитъ ни смоковницъ, ни винограда, ни маслины; хотя для хлѣба такъ удобна, что зерно большею частію приноситъ самъ-двусотъ, а въ счастливѣйшіе урожаемъ годы, и

Δήμητρος καρπὸν ὧδε ἀγαθὴ ἐκφέρειν ἐστὶ, ὥστε ἐπὶ διηκόσια μὲν τοπαράπαν ἀποδιδοῖ· ἐπεὰν δὲ ἄρισα αὐτὴ ἑωυτῆς ἐνείκῃ, ἐπὶ τριηκόσια ἐκφέρει. τὰ δὲ φύλλα αὐτόθι τῶν τε πυρῶν καὶ τῶν κριθέων τὸ πλάτος γίνεται τεσσέρων εὐπετέως δακτύλων. ἐκ δὲ κέγχρου καὶ σησάμιος ὅσον τι δένδρον μέγαθος γίνεται, ἐξεπισάμενος, μνήμην ἐ ποιήσομαι· εὖ εἰδὼς ὅτι τοῖσι μὴ ἀπιγμένοισι ἐς τὴν Βαβυλωνίην χώρην, καὶ τὰ εἰρημένα καρπῶν ἐχόμενα ἐς ἀπιστίην πολλὴν ἀπῖκται. χρέωνται δὲ οὐδὲν ἐλαίῳ, ἀλλ' ἐκ τῶν σησάμων ποιεῦντες. εἰσὶ δέ σφι φοίνικες πεφυκότες ἀνὰ πᾶν τὸ πεδίον· οἱ πλεῦνες αὐτέων καρπόφοροι, ἐκ τῶν καὶ σιτία καὶ οἶνον καὶ μέλι ποιεῦνται. τοὺς συκέων τρόπον θεραπεύουσι· τά τε ἄλλα, καὶ φοινίκων τοὺς ἔρσενας Ἕλληνες καλέουσι, τούτων τὸν καρπὸν περιδέουσι τῇσι βαλανηφόροισι τῶν φοινίκων, ἵνα πεπαίνῃ τέ σφι ὁ ψὴν τὴν βάλανον ἐσδύνων, καὶ μὴ ἀποῤῥέῃ ὁ καρπὸς ὁ τοῦ φοίνικος. ψῆνας γὰρ δὴ φορέουσι ἐν τῷ καρπῷ οἱ ἔρσενες, κατάπερ δὴ οἱ ὄλυνθοι.

194. Τὸ δὲ ἁπάντων θωῦμα μέγιστόν μοι ἐστι τῶν ταύτῃ, μετά γε τὴν πόλιν αὐτὴν, ἔρχομαι Φράσων. τὰ πλοῖα αὐτοῖσί ἐστι τὰ κατὰ τὸν ποταμὸν πορευόμενα ἐς τὴν Βαβυλῶνα ἐόντα

самъ-присотъ. Листья у пшеницы и ячменя имѣютъ ширины большею частію четыре дюйма. Сколь же высокъ бываетъ стебель проса и кунжута, хотя мнѣ извѣстно, но не упомяну о томъ, вѣдая заподлинно, что тѣ, кои не бывали въ Вавилонской странѣ, не повѣрятъ и тому, что сказано о другихъ плодахъ земныхъ. Оливнаго масла тамъ не употребляютъ, но приготовляютъ оное изъ кунжута. Пальмовыми деревьями засажены всѣ поля; изъ нихъ большая часть бываютъ плодоносные, отъ коихъ получается и пища и вино и медъ. Ихъ разводятъ такъ же какъ и смоковницы, между прочимъ и слѣдующимъ образомъ. Прививаютъ къ пальмовымъ деревьямъ, приносящимъ плоды, такія пальмовыя деревья, кои у Эллиновъ называются мужескими; проникающая въ плодъ пальмы мошка приводитъ оной въ зрѣлость и препятствуетъ ему отпасть. Мошекъ носятъ въ плодѣ своемъ мужескія пальмы, такъ какъ дикія смоковницы.

CXCIV. Величайшее же въ странѣ сей, послѣ самаго города, чудо для меня то, о чемъ я теперь сказать намѣренъ. У Вавилонянъ суда, ходящія по рѣкѣ въ Вавилонъ, круглы и сдѣланы изъ кожъ. Нарубивъ у Армянъ, живущихъ выше Ассиріянъ, нвовыхъ

κυκλοτερέα, πάντα σκύτινα. ἐπεὰν γὰρ ἐν τοῖσι Ἀρμενίοισι τοῖσι κατύπερθε Ἀσσυρίων οἰκημένοισι νομέας ἰτέης ταμόμενοι ποιήσωνται, περιτείνουσι τύτοισι διφθέρας σεγασρίδας ἔξωθεν, ἐδάφεος τρόπον, οὔτε πρύμνην ἀποκρίνοντες, οὔτε πρῴρην συνάγοντες, ἀλλ' ἀσπίδος τρόπον κυκλοτερέα ποιήσαντες, καὶ καλάμης πλήσαντες πᾶν τὸ πλοῖον τοῦτο, ἀπιᾶσι κατὰ τὸν ποταμὸν φέρεσθαι, φορτίων πλήσαντες, μάλιστα δὲ βίκυος φοινικηίου κατάγουσι οἶνον πλέους. ἰθύνεται δὲ ὑπό τε δύο πληκτραν, καὶ δύο ἀνδρῶν ὀρθῶν ἑστεώτων. καὶ ὁ μὲν ἔσω ἕλκει τὸ πλῆκτρον, ὁ δὲ ἔξω ὠθέει. ποιέεται δὲ καὶ κάρτα μεγάλα ταῦτα τὰ πλοῖα, καὶ ἐλάσσω· τὰ δὲ μέγιστα αὐτέων, καὶ πεντακισχιλίων ταλάντων γόμον ἔχει. ἐν ἑκάστῳ δὲ πλοίῳ ὄνος ζωὸς ἔνεστι, ἐν δὲ τοῖσι μέζοσι πλεῦνες. ἐπεὰν ὦν ἀπίκωνται πλέοντες ἐς τὴν Βαβυλῶνα, καὶ διαθέωνται τὸν φόρτον, νομέας μὲν τοῦ πλοίου καὶ τὴν καλάμην πᾶσαν ἀπεκήρυξαν· τὰς δὲ διφθέρας ἐπισάξαντες ἐπὶ τοὺς ὄνους, ἀπελαύνουσι ἐς τοὺς Ἀρμενίους. ἀνὰ τὸν ποταμὸν γὰρ δὴ οὐκ οἷά τέ ἐστι πλέειν οὐδενὶ τρόπῳ, ὑπὸ τάχεος τοῦ ποταμοῦ. διὰ γὰρ ταῦτα καὶ οὐκ ἐκ ξύλων ποιεῦνται τὰ πλοῖα, ἀλλ' ἐκ διφθερέων. ἐπεὰν δὲ τοὺς ὄνους ἐλαύνοντες ἀπίκωνται ὀπίσω ἐς τοὺς Ἀρμενίους, ἄλλα τρόπῳ τῷ αὐτῷ ποιεῦνται πλοῖα. τὰ μὲν δὴ πλοῖα αὐτοῖσί ἐστι τοιαῦτα.

οὐκ ἐπὶ πολλόν. ἀπικομένυς δὲ τοὺς Νασαμῶνας, καὶ εἰρωτεωμένυς εἴ τι ἔχυσι πλέον λέγειν περὶ τῶν ἐρήμων τῆς Λιβύης, φάναι παρὰ σφίσι γενέσθαι ἀνδρῶν δυνασέων παῖδας ὑβρισάς· τοὺς ἄλλά τε μηχανᾶσθαι ἀνδρωθέντας περισσὰ, καὶ δὴ καὶ ἀποκληρῶσαι πέντε ἐωυτῶν, ὀψομένυς τὰ ἔρημα τῆς Λιβύης, καὶ εἴ τι πλέον ἰδοιεν τῶν τὰ μαχρόταται ἱδομένων. τῆς γὰρ Λιβύης τὰ μὲν κατὰ τὴν βορηίην θάλασσαν, ἀπ' Αἰγύπτυ ἀρξάμενοι μέχρι Σολόεντος ἄκρης, ἣ τελευτᾷ τὰ τῆς Λιβύης, παρήκυσι παρὰ πᾶσαν Λίβυες, καὶ Λιβύων ἔθνεα πολλὰ, πλὴν ὅσον Ἕλληνες καὶ Φοίνικες ἔχυσι. τὰ δ' ὑπὲρ θαλάσσης τε καὶ τῶν ἐπὶ θάλασσαν κατηχόντων ἀνθρώπων, τὰ κατύπερθε θηριώδης ἐσι ἡ Λιβύη· τὰ δὲ κατύπερθε τῆς θηριώδεος, ψάμμος τέ ἐσι, καὶ ἄνυδρος δεινῶς, καὶ ἔρημος πάντων. εἶπον ὧν τοὺς νεηνίας ἀποπεμπομένους ὑπὸ τῶν ἡλίκων, ὕδασί τε καὶ σιτίοισι εὖ ἐξηρτυμένους, ἰέναι ἅπρωτα μὲν διὰ τῆς οἰκεομένης· ταύτην δὲ διεξελθόντας, ἐς τὴν θηριώδεα ἀπικέσθαι· ἐκ δὲ ταύτης, τὴν ἔρημον διεξιέναι, τὴν ὁδὸν ποιευμένους πρὸς ζέφυρον ἄνεμον· διεξελθόντας δὲ χῶρον πολλὸν ψαμμώδεα, καὶ ἐν πολλῇσι ἡμέρῃσι, ἰδεῖν δή κοτε δένδρεα ἐν πεδίῳ πεφυκότα· καί σφεας προσελθόντας, ἅπτεσθαι τῷ ἐπεόντος ἐπὶ τῶν δενδρέων καρπῷ· ἁπτομένοισι δέ σφι

зать ему что либо о пустыняхъ Ливійскихъ, опівѣчали, что у нѣкоторыхъ вельможъ ихъ были отважные дѣти. Они, возмужавши, между многими другими странными предпріятіями, по жеребью избрали изъ себя пятерыхъ, обозрѣть пустыни Ливійскія, не увидятъ ли чего намъ больше тѣхъ, кои взираютъ на нихъ изъ отдаленнѣйшихъ странъ.“ Надобно знать, что вся часть Ливіи, простирающаяся вдоль Сѣвернаго моря, начиная отъ Египта до мыса Солоэнта, гдѣ оканчивается Ливія, населена Ливіянами, состоящими изъ разныхъ народовъ, кромѣ того, что занимаютъ Эллины и Финикіяне; верхняя же Ливія наполнена дикими звѣрями; за сею же землею находится песокъ, вовсе не имѣющій воды и никѣмъ необитаемый. „Упомянутые выше молодые люди, посланные отъ своихъ товарищей, запасшись пищею и водою, сперьва прошли землю, обитаемую людьми; потомъ перешли къ землѣ, населенной звѣрьми; а изъ сей въ необитаемую, направляя путь свой къ Западу. Прошедъ многіе дни глубокими песками, однажды увидѣли они деревья, подошли къ нимъ и отвѣдали плодовъ ихъ. Когда они ѣли ихъ, пришли къ нимъ малые люди, меньшіе людей средняго роста, схватили ихъ и увели съ собою.

ἐπελθεῖν ἄνδρας μικρούς, μετρίων ἐλάσσονας ἀνδρῶν, λαβόντας δὲ ἄγειν σφέας· φωνῆς δὲ ὅτέ τι τῆς ἐκείνων τοὺς Νασαμῶνας γινώσκειν, ὅτε τοὺς ἄγοντας τῶν Νασαμώνων. ἄγειν τε δὴ αὐτοὺς δι ἐλέων μεγίστων, καὶ διεξελθόντας ταῦτα, ἀπικέσθαι ἐς πόλιν, ἐν τῇ πάντας εἶναι τοῖσι ἄγουσι τὸ μέγαθος ἴσους, χρῶμα δὲ μέλανας. παρὰ δὲ τὴν πόλιν ῥέειν ποταμὸν μέγαν· ῥέειν δὲ ἀπὸ ἑσπέρης αὐτὸν πρὸς ἥλιον ἀνατέλλοντα· φαίνεσθαι δὲ ἐν αὐτῷ κροκοδείλους.

33. Ὁ μὲν δὴ τῷ Ἀμμωνίῳ Ἐτεάρχῳ λόγος ἐς τοῦτό μοι δεδηλώσθω· πλὴν ὅτι ἀπονοσῆσαί τε ἔφασκε τοὺς Νασαμῶνας, ὡς οἱ Κυρηναῖοι ἔλεγον· καὶ ἐς τοὺς ἔτοι ἀπίκοντο ἀνθρώπους, γόητας εἶναι πάντας. τὸν δὲ δὴ ποταμὸν τοῦτον τὸν παραῤῥέοντα καὶ Ἐτέαρχος συνεβάλλετο εἶναι τὸν Νεῖλον· καὶ δὴ καὶ ὁ λόγος ἔτως αἰρέει. ῥέει γὰρ ἐκ Λιβύης ὁ Νεῖλος, μέσην τάμνων Λιβύην· καὶ (ὡς ἐγὼ συμβάλλομαι, τοῖσι ἐμφανέσι τὰ μὴ γινωσκόμενα τεκμαιρόμενος) τῷ Ἴστρῳ ἐκ τῶν ἴσων μέτρων ὁρμᾶται. Ἴστρος τε γὰρ ποταμὸς ἀρξάμενος ἐκ Κελτῶν καὶ Πυρήνης πόλιος, ῥέει μέσην σχίζων τὴν Εὐρώπην. οἱ δὲ Κελτοὶ ἴσοι ἔξω Ἡρακληίων στηλέων· ὁμουρέουσι δὲ Κυνησί-

Языка же ихъ ни Насамоны не понимали, ни они Насамоновъ. Они вели ихъ по ужаснымъ болотамъ, которыя прошедши, дошли до города, въ коемъ всѣ были равнаго роста съ тѣми, кои вели ихъ, и цвѣтомъ черны. У сего города протекала большая рѣка; ея теченіе было отъ Запада къ Востоку, и въ ней находятся крокодилы.

XXXIII. Таковы были рѣчи Этеарха. Я присовокуплю къ сему только то, что Киринеяне отъ него слышали, какъ то они мнѣ сказывали, т. е. что Насамоны возвратились въ свою отчизну и увѣряли, что „люди, до коихъ они дошли, всѣ чародѣи.“ И такъ Этеархъ догадывался, что рѣка, о коей говорили странствователи, есть Нилъ, что подтверждаетъ и разсудокъ. Ибо Нилъ течетъ изъ Ливіи, раздѣляя ее по срединѣ; и (какъ я заключаю изъ извѣстнаго о томъ, что не столь извѣстно) рѣка сія имѣетъ теченіе такое же, какъ Истръ. Ибо Истръ, начиная течь у Цельтовъ отъ города Пирины, раздѣляетъ Европу по срединѣ. Цельты живутъ за Иракловыми столбами и сопредѣльны Киписіянамъ, кои суть послѣдній народъ изъ населяющихъ Европу къ Западу. Оканчиваетъ же Истръ свое теченіе, про-

σίοισι, οἳ ἔσχατοι πρὸς δυσμέων οἰκέουσι τῶν ἐν τῇ Εὐρώπῃ κατοικημένων. τελευτᾷ δὲ ὁ Ἴστρος ἐς θάλασσαν τὴν τῷ Εὐξείνῳ πόντῳ, τῇ Ἰστρίην οἱ Μιλησίων οἰκέουσι ἄποικοι.

34. Ὁ μὲν δὴ Ἴστρος, ῥέει γὰρ δι' οἰκευμένης, πρὸς πολλῶν γινώσκεται· περὶ δὲ τῶν τῷ Νείλῳ πηγέων οὐδεὶς ἔχει λέγειν. ἀοίκητός τε γάρ ἐστι καὶ ἔρημος ἡ Λιβύη, δι' ἧς ῥέει. περὶ δὲ τῷ ῥεύματος αὐτῷ, ἐπ' ὅσον μακρότατον ἰσορεῦνται ἦν ἐξικέσθαι, εἴρηται· ἐκδιδοῖ δὲ ἐς Αἴγυπτον. ἡ δὲ Αἴγυπτος τῆς ὀρεινῆς Κιλικίης μάλιστά κη ἀντίη κέεται. ἐνθεῦτεν δέ, ἐς Σινώπην τὴν ἐν τῷ Εὐξείνῳ πόντῳ πέντε ἡμερέων ἰθεῖα ὁδὸς εὐζώνῳ ἀνδρί. ἡ δὲ Σινώπη τῷ Ἴστρῳ ἐκδιδόντι ἐς θάλασσαν ἀντίον κέεται. οὕτω τὸν Νεῖλον δοκέω διὰ πάσης τῆς Λιβύης διεξιόντα ἐξισοῦσθαι τῷ Ἴστρῳ. Νείλῳ μέν νυν περὶ τοσαῦτα εἰρήσθω.

35. Ἔρχομαι δὲ περὶ Αἰγύπτου μηκυνέων τὸν λόγον, ὅτι πλέω θωϋμάσια ἔχει ἢ ἄλλη πᾶσα χώρη, καὶ ἔργα λόγου μέζω παρέχεται πρὸς πᾶσαν χώρην· τούτων εἵνεκα πλέω περὶ αὐτῆς

ѣкая чрезъ всю Европу и впадая въ Понтъ Эвксинскій, близь города Истріи, обитаемаго поселенцами Милисійскими.

XXXIV. Рѣка Истръ, поелику простекаетъ чрезъ обитаемую землю, извѣстна многимъ; но объ источникахъ Нила никто ничего сказать не можетъ. Ибо Ливія, чрезъ которую онъ протекаетъ, пуста и необитаема. О теченіи же его, сколь далеко изслѣдованіемъ можно было дойти, сказано выше. Наконецъ Нилъ входитъ въ Египетъ; Египетъ лежитъ противъ гористой части Киликіи, откуда къ Синопѣ, городу, находящемуся на Понтѣ Эвксинскомъ, считается пять дней прямаго пути для хорошаго путника; Синопа лежитъ противъ Истра, гдѣ онъ впадаетъ въ море. Такимъ образомъ Нилъ, который протекаетъ всю Ливію, я считаю равнымъ Истру. Но сего довольно о Нилѣ.

XXXV. Теперь хочу говорить съ большею подробностію о Египтѣ. Поелику въ немъ премного находится удивительныхъ вещей и произведеній искуства, каковыхъ никакая другая страна не представляетъ; то ни одна столько не заслуживаетъ пространнѣйшаго, какъ онъ, повѣствованія.

εἰρήσεται. Αἰγύπτιοι ἅμα τῷ οὐρανῷ τῷ κατὰ σφέας ἐόντι ἑτεροίῳ, καὶ τῷ ποταμῷ φύσιν ἀλλοίην παρεχομένῳ ἢ οἱ ἄλλοι ποταμοὶ, τὰ πολλὰ πάντα ἔμπαλιν τοῖσι ἄλλοισι ἀνθρώποισι ἐσήσαντο ἤθεά τε καὶ νόμους. ἐν τοῖσι αἱ μὲν γυναῖκες ἀγοράζουσι καὶ καπηλεύουσι· οἱ δὲ ἄνδρες, κατ' οἴκους ἐόντες, ὑφαίνουσι. ὑφαίνουσι δὲ οἱ μεν ἄλλοι, ἄνω τὴν κρόκην ὠθέοντες, Αἰγύπτιοι δὲ, κάτω. τὰ ἄχθεα οἱ μὲν ἄνδρες ἐπὶ τῶν κεφαλέων φορέουσι, αἱ δὲ γυναῖκες, ἐπὶ τῶν ὤμων. οὐρέουσι, αἱ μὲν γυναῖκες, ὀρθαί· οἱ δὲ ἄνδρες, κατήμενοι. εὐμαρίῃ χρέωνται ἐν τοῖσι οἴκοισι, ἐσθίουσι δὲ ἔξω ἐν τῇσι ὁδοῖσι· ἐπιλέγοντες, ὡς τὰ μὲν αἰσχρὰ, ἀναγκαῖα δὲ, ἐν ἀποκρύφῳ ἐστὶ ποιέειν χρεών· τὰ δὲ μὴ αἰσχρὰ, ἀναφανδόν. ἱρᾶται γυνὴ μὲν οὐδεμίη οὔτε ἔρσενος θεοῦ, οὔτε θηλέης· ἄνδρες δὲ, πάντων τε καὶ πασέων. τρέφειν τοὺς τοκέας τοῖσι μὲν παισὶ οὐδεμίη ἀνάγκη, μὴ βουλομένοισι· τῇσι δὲ θυγατράσι πᾶσα ἀνάγκη, καὶ μὴ βουλομένῃσι.

36. Οἱ ἱρέες τῶν θεῶν τῇ μὲν ἄλλῃ κομέουσι· ἐν Αἰγύπτῳ δὲ, ξυρεῦνται. τοῖσι ἄλλοισι ἀνθρώποισι νόμος, ἅμα κήδεϊ κεκάρθαι τὰς κεφαλὰς τοὺς μάλιστα ἰχνέεται· Αἰγύπτιοι δὲ ὑπὸ τοὺς θανάτους ἀνιεῖσι τὰς τρίχας αὔξεσθαι, τάς τε ἐν τῇ κεφαλῇ καὶ τῷ γενείῳ, τέως ἐξυρημένοι.

Египтяне, находясь подъ небомъ, отличнымъ отъ нашего, и имѣя рѣку совсѣмъ особеннаго свойства противъ другихъ рѣкъ, сообразно тому много имѣютъ и обычаевъ и законовъ, противныхъ другимъ народамъ. У нихъ жены ходятъ на рынокъ, покупаютъ и продаютъ; а мужья, сидя дома, ткутъ холстъ. Ткутъ же Египтяне, снуя уткомъ снизу, между тѣмъ какъ другіе снуютъ уткомъ сверьху. Мущины носятъ тяжести на головахъ, а женщины подъ плечами. Урину испускаютъ, женщины, стоя прямо; мущины, присѣдая. Испражняются дома; а ѣдятъ внѣ дома на улицахъ, и причиною сему поставляютъ то, что „гнуснос, но необходимое, должно дѣлать скрытно; не гнусное же, явно.“ Женщины не бываютъ жрицами ни боговъ, ни богинь; мужчины исправляютъ сію должность у всѣхъ боговъ и богинь. Кормить родителей сыновья не обязаны, развѣ сами того пожелаютъ; но дочери, необходимо должны, хотя бы того и не желали.

XXXVI. Жрецы въ другихъ земляхъ волосы отращиваютъ; въ Египтѣ стригутъ. У другихъ народовъ есть обычай остригать волосы на головѣ по смерти ближнихъ родственниковъ; Египтяне, когда кто умретъ,

ποῖσι μὲν ἄλλοισι ἀνθρώποισι χωρὶς θηρίων διαιτα ἀποκέκριται· Αἰγυπτίοισι δὲ ὁμῦ θηρίοισι ἡ δίαιτά ἐσι. ἀπὸ πυρέων καὶ κριθέων ὧλλοι ζώουσι· Αἰγυπτίων δὲ τῷ ποιευμένῳ ἀπὸ τεύτεων τὴν ζόην, ὄνειδος μέγισόν ἐσι· ἀλλὰ ἀπὸ ὀλυρέων ποιεῦνται σίτία, τὰς ζειὰς μετεξέτεροι καλέουσι. φυρῶσι τὸ μὲν σαῖς τρίβοι, πρὸς τὸν δὲ πηλὸν, τῇσι χερσὶ· καὶ τὴν κόπρον ἀναιρέονται. τὰ αἰδοῖα ὧλλοι μὲν ἐῶσι ὡς ἐγένοντο, πλὴν ὅσοι ἀπὸ τεύτεων ἔμαθον· Αἰγύπτιοι δὲ περιτάμνονται. εἵματα, τῶν μὲν ἀνδρῶν ἕκαστος ἔχει δύο· τῶν δὲ γυναικῶν ἓν ἑκάστη. τῶν ἱστίων τοὺς κρίκους καὶ τὸ κάλως, οἱ μὲν ἄλλοι ἔξωθεν προσδέουσι· Αἰγύπτιοι δὲ, ἔσωθεν. γράμματα γράφουσι καὶ λογίζονται ψήφοισι, Ἕλληνες μὲν, ἀπὸ τῶν ἀριστερῶν ἐπὶ τὰ δεξιὰ φέροντες τὴν χεῖρα· Αἰγύπτιοι δὲ, ἀπὸ τῶν δεξιῶν ἐπὶ τὰ ἀριστερά· καὶ ποιεῦντες ταῦτα, αὐτοὶ μέν φασι ἐπὶ τὰ δεξιὰ ποιέειν, Ἕλληνας δὲ ἐπ᾽ ἀριστερά. διφασίοισι δὲ γράμμασι χρέωνται· καὶ τὰ μὲν αὐτῶν, ἱρά· τὰ δὲ, δημοτικὰ καλέεται.

57. Θεοσεβέες δὲ περισσῶς ἐόντες μάλισα πάντων ἀνθρώπων, νόμοισι τοιοίσιδε χρέωνται. ἐκ χαλκέων ποτηρίων πίνουσι, διασμέωντες ἀνὰ

волосы отращиваютъ, на головѣ, и на бородѣ, а до того стригутъ. Въ другихъ странахъ люди живутъ особо отъ животныхъ; Египтяне живутъ съ ними вмѣстѣ. Другіе люди питаются пшеницею и ячменемъ; у Египтянъ же поддерживаніе тѣмъ жизнь свою значитъ величайшее поношеніе; но дѣлаютъ хлѣбъ и другія снѣди изъ *олиры*, которую иные называютъ *зеею* (*кукурузою*). Они мѣсятъ муку ногами; а грязь и помет очищаютъ руками. Всѣ народы, кромѣ тѣхъ, кои переняли у Египтянъ, тайный удъ оставляютъ такъ, какъ съ нимъ родились; Египтяне же оный обрѣзываютъ. Каждый мущина имѣетъ по два платья; женщина, одно. Кольца у покрывалъ и снурки, другіе привязываютъ снаружи; Египтяне внутри. Буквы пишутъ и цыфры считаютъ, Эллины, водя рукою отъ лѣвой стороны къ правой; Египтяне отъ правой къ лѣвой; и говорятъ, будьто пишутъ и считаютъ къ правой сторонѣ, а Эллины къ лѣвой. Письмо у нихъ двоякаго рода: одно называется *священнымъ*, другое, *общенароднымъ*.

XXXVII. Будучи чрезмѣрно богочестивы и больше всѣхъ людей, употребляютъ слѣдующіе обряды. Пьютъ изъ мѣдныхъ кру-

πᾶσαν ἡμέρην· οὐχ ὁ μὲν, ὁ δ' οὔ, ἀλλὰ πάντες. εἵματα δὲ λίνεα Φορέουσι αἰεὶ νεόπλυτα, ἐπιτηδεύοντες τοῦτο μάλισα. τά τε αἰδοῖα περιτάμνονται, καθαριότητος εἵνεκεν· προτιμῶντες καθαροὶ εἶναι ἢ εὐπρεπέστεροι. οἱ δὲ ἱρέες ξυρεῦνται πᾶν τὸ σῶμα διὰ τρίτης ἡμέρης, ἵνα μήτε φθεὶρ, μήτε ἄλλο μυσαρὸν μηδὲν ἐγγίνηται σφι θεραπεύουσι τοὺς θεούς. ἐσθῆτα δὲ Φορέουσι οἱ ἱρέες λινέην μούνην, καὶ ὑποδήματα βύβλινα· ἄλλην δέ σφι ἐσθῆτα οὐκ ἔξεστι λαβεῖν, οὐδὲ ὑποδήματα ἄλλα. λοῦνται δὲ δὶς τῆς ἡμέρης ἑκάστης ψυχρῷ, καὶ δὶς ἑκάστης νυκτός. ἄλλας τε θρησκίας μυρίας ἐπιτελέουσι, ὡς εἰπεῖν λόγῳ. πάσχουσι δὲ καὶ ἀγαθὰ οὐκ ὀλίγα· οὔτε τι γὰρ τῶν οἰκηίων τρίβουσι, οὔτε δαπανέωνται. ἀλλὰ καὶ σιτία σφὶ ἔστι ἱερὰ πεσσόμενα, καὶ κρεῶν βοέων καὶ χηνέων πλῆθός τι ἑκάστῳ γίνεται πολλὸν ἑκάστης ἡμέρης. δίδοται δέ σφι καὶ οἶνος ἀμπέλινος. ἰχθύων δὲ ὅ σφι ἔξεστι πάσασθαι. κυάμους δὲ οὔτε τι μάλα σπείρουσι Αἰγύπτιοι ἐν τῇ χώρῃ, τούς τε γενομένους οὔτε τρώγουσι, οὔτε ἕψοντες πατέονται. οἱ δὲ δὴ ἱρέες, οὐδὲ ὁρέοντες ἀνέχονται, νομίζοντες οὐ καθαρόν μιν εἶναι ὄσπριον. ἱρᾶται δὲ οὐκ εἷς ἑκάστων θεῶν, ἀλλὰ πολλοὶ, τῶν εἷς ἐστὶ ἀρχιέ-

жекъ, ежедневно вымывая ихъ, не одинъ, или другой, но всѣ до одного. Одежду носятъ льняную, всегда недавно вымытую, чрезвычайно о семъ заботясь. Тайные уды обрѣзываютъ ради чистоты, лучше желая быть чистыми, нежели наряженными. Жрецы черезъ каждые три дни брѣютъ все тѣло свое, дабы вошъ или другое что гадкое не было на нихъ, когда они приносятъ богамъ жертву. Одежду носятъ они только льняную, а обувь папировую; другой одежды, ни обуви носить имъ не позволено. Моются холодною водою ежедневно два раза, и два раза каждую ночь. Наконецъ, совершаютъ и другіе священные обряды, можно сказать, безчисленные. Они пользуются и выгодами не маловажными; ничего изъ собственныхъ припасовъ не употребляютъ и не издерживаютъ. Священныя брашна служатъ имъ пищею; говядины и гусины ежедневно каждому изъ нихъ предлагается великое множество; дается имъ и вино виноградное. Рыбою питаться имъ не позволено. Бобовъ Египтяне никакихъ не сѣютъ; а самородныхъ не ѣдятъ ни сырыхъ, ни вареныхъ. Жрецы даже не позволяютъ себѣ смотрѣть на нихъ, почитая овощь сей нечистымъ. У каждаго бога не одинъ жрецъ,

ρεως· ἐπεὰν δέ τις ἀποθάνῃ, τύτυ ὁ παῖς ἀντικατίσαται.

38. Τὺς δὲ βῦς τὺς ἔρσενας τῦ Ἐπάθυ εἶναι νομίζυσι, καὶ τύτυ εἵνεκα δοκιμάζυσι αὐτὺς ὧδε. τρίχα ἢν καὶ μίην ἰδηται ἐπεῦσαν μέλαιναν, οὐ καθαρὸν εἶναι νομίζει. δίζηται δὲ ταῦτα ἐπὶ τοῦτο τεταγμένος τῶν τις ἱρέων, καὶ ὀρθοῦ ἑσεῶτος τοῦ κτήνεος καὶ ὑπτίυ, καὶ τὴν γλῶσσαν ἐξειρύσας, εἰ καθαρὴ τῶν προκειμένων σημηίων, τὰ ἐγὼ ἐν ἄλλῳ λόγῳ ἐρέω. κατορᾷ δὲ καὶ τὰς τρίχας τῆς οὐρῆς, εἰ κατὰ Φύσιν ἔχει πεφυκυίας· ἢν δὲ τυτέων πάντων ᾖ καθαρὸς, σημαίνεται βύβλῳ περὶ τὰ κέρεα εἰλίσσων· καὶ ἔπειτα γῆν σημαντρίδα ἐπιπλάσας, ἐπιβάλλει τὸν δακτύλιον· καὶ οὕτω ἀπάγυσι. ἀσήμαντον δὲ θύσαντι θάνατος ἡ ζημίη ἐπικέεται. δοκιμάζεται μέν νυν τὸ κτῆνος τρόπῳ τοιῷδε.

39. Θυσίη δέ σφι ἥδε κατέσηκε. ἀγαγόντες τὸ σεσημασμένον κτῆνος πρὸς τὸν βωμὸν, ὅκυ ἂν θύωσι, πυρὴν καίυσι. ἔπειτα δὲ ἐπ' αὐτοῦ οἶνον κατὰ τῦ ἱρηίυ ἐπισπείσαντες, καὶ ἐπικαλέσαντες τὸν θεὸν, σφάζυσι· σφάξαντες δὲ, ἀπο-

но многіе, изъ коихъ одинъ первосвященникъ; когда онъ умрстъ, заступаетъ сіе мѣсто сынъ его.

XXXVIII. Быковъ почитаютъ посвященными Эпафу; и для этого испытуютъ ихъ такъ: если примѣченъ будетъ на быкѣ хотя одинъ черный волосъ, що быкъ почитается нечистымъ. Для сего опредѣляется особо одинъ изъ жрецовъ, который осматриваетъ быка въ стоячемъ его положеніи, перевороченномъ на спину, и вытягиваетъ у него языкъ, чтобъ узнать, имѣетъ ли скотина предписанные признаки чистоты, о коихъ я скажу въ другомъ мѣстѣ. Онъ осматриваетъ также волосы на хвостѣ, естественно ли они у быка выросли. Если быкъ найдется во всемъ чистымъ, жрецъ кладетъ на немъ мѣтку, обвивая рога его папиромъ; потомъ налѣпивъ печатальную землю, прикладываетъ къ ней перстень, и быкъ уводится. Приносящему въ жертву непомѣченнаго быка назначена смертная казнь. Симъ образомъ избирается жертва.

XXXIX. Жертвоприношеніе совершается у нихъ слѣдующимъ образомъ. Приведя помѣченнаго вола къ жертвеннику, на коемъ должно приносить его въ жертву, зажигаютъ костеръ; потомъ, возливъ вино на жертвен-

τάμνυσι τὴν κεφαλήν. σῶμα μὲν δὴ τῷ κτήνεος δείρυσι· κεφαλῇ δὲ κείνῃ πολλὰ καταιρησάμενοι, φέρυσι τοῖσι μὲν ἂν ᾖ ἀγορή, καὶ Ἕλληνές σφισι ἔωσι ἐπίδημοι ἔμποροι, οἵδε φέροντες ἐς τὴν ἀγορήν, ἀπ' ὧν ἔδοντο· τοῖσι δὲ ἂν μὴ παρέωσι Ἕλληνες, οἱ δ' ἐκβάλλυσι ἐς τὸν ποταμόν. καταρέονται δὲ, τάδε λέγοντες τῇσι κεφαλῇσι· „εἴ τι μέλλοι ἢ σφίσι τοῖσι θύυσι, „ἢ Αἰγύπτῳ τῇ συναπάσῃ κακὸν γενέσθαι, ἐς κεφαλὴν ταύτην τραπέσθαι.“ Κατὰ μέν νυν τὰς κεφαλὰς τῶν θυομένων κτηνέων, καὶ τὴν ἐπίσπεισιν τοῦ οἴνυ, πάντες Αἰγύπτιοι νόμοισι τοῖσι αὐτοῖσι χρέωνται ὁμοίως ἐς πάντα τὰ ἱρά. καὶ ἀπὸ τούτυ τοῦ νόμυ, οὐδὲ ἄλλυ οὐδενὸς ἐμψύχυ κεφαλῆς γεύσεται Αἰγυπτίων οὐδείς.

40. Ἡ δὲ δὴ ἐξαίρεσις τῶν ἱρῶν καὶ ἡ καῦσις, ἄλλη περὶ ἄλλο ἱρόν σφι κάτεστε. τὴν δ' ὧν μεγίστην τε δαίμονα ἥγηνται εἶναι, καὶ μεγίστην οἱ ὀρτὴν ἀνάγυσι, ταύτην ἔρχομαι ἐρέων. ἐπεὰν ἀποδείρωσι τὸν βῦν, κατευξάμενοι, κοιλίην μὲν κεινὴν πᾶσαν ἐξ ὧν εἶλον, σπλάγχνα δὲ αὐτῇ λείπυσι ἐν τῷ σώματι καὶ τὴν ὀσφὺν ἄκρην, καὶ τυὺς ὤμυς τε καὶ τὸν τράχηλον. ταῦ-

никъ противъ жертвы, и воззвавши къ богамъ, ее закалаютъ и отсѣкаютъ у нее голову. Туловище скотины обдираютъ; а надъ головою произносятъ разныя заклятія, и, если есть рынокъ, и находятся тамъ купцы Элинскіе, несутъ голову на рынокъ и продаютъ имъ; когда же такихъ купцовъ нѣтъ, бросаютъ ее въ рѣку. Заклинаютъ голову слѣдующими словами: „если должна насъ жертвующихъ или весь Египетъ постигнуть какая напасть, да обратится она на сію голову.“ Что касается до головъ приносимыхъ въ жертву воловъ и возліванія вина, всѣ Египтяне наблюдаютъ тѣже обряды во всѣхъ жертвоприношеніяхъ; и для того ни одинъ Египтянинъ не употребляетъ въ пищу головъ никакаго животнаго.

XL. Потрошеніе и сожженіе жертвъ суда по роду жертвоприношеній, бываетъ различное. Я скажу здѣсь только о томъ, которое употребляютъ Египтяне при жертвоприношеніи величайшей изъ богинь своихъ, коей и празднество совершаютъ самое торжественное. Ободравъ вола, по принесеніи обѣтовъ, вынимаютъ всѣ кишки; а утробу и жиръ оставляютъ въ немъ; отрѣзываютъ ноги и края бедръ, плеши и шею. Потомъ

τα δὲ ποιήσαντες, τὸ ἄλλο σῶμα τῦ βοὸς πιμπλᾶσι ἄρτων καθαρῶν, καὶ μέλιτος, καὶ ἀσαφίδων, καὶ σύκων, καὶ λιβανωτοῦ, καὶ σμύρνης, καὶ τῶν ἄλλων θυωμάτων. πλήσαντες δὲ τύτων, καταγίζυσι, ἔλαιον ἄφθονον καταχέοντες. προνηστεύσαντες δὲ, θύυσι· καιομένων δὲ τῶν ἱρῶν, τύπτονται πάντες. ἐπεὰν δὲ ἀποτύψωνται, δαῖτα προτίθενται τὰ ἐλίποντο τῶν ἱρῶν.

41. Τοὺς μέν νυν καθαροὺς βοῦς τύς ἔρσενας καὶ τύς μόσχυς οἱ πάντες Αἰγύπτιοι θύυσι· τὰς δὲ Θηλέας οὔ σφι ἔξεσι θύειν, ἀλλὰ ἱραί εἰσι τῆς Ἴσιος. τὸ γὰρ τῆς Ἴσιος ἄγαλμα ἐὸν γυναικήϊον, βύκερώς ἐσι, κατάπερ Ἕλληνες τὴν Ἰοῦν γράφυσι. καὶ τὰς βῦς τὰς Θηλέας Αἰγύπτιοι πάντες ὁμοίως σέβονται προβάτων πάντων μάλισα μαχρῷ. τῶν εἵνεκα οὔτ' ἀνὴρ Αἰγύπτιος, οὔτε γυνὴ ἄνδρα Ἕλληνα φιλήσειε ἂν τῷ σόματι, οὐδὲ μαχαίρῃ ἀνδρὸς Ἕλληνος χρήσεται, οὐδ' ὀβελοῖσι, οὐδὲ λέβητι, οὐδὲ κρέως καθαροῦ βοὸς διατετμημένυ Ἑλληνικῇ μαχαίρῃ γεύσεται. θάπτυσι δὲ τὺς ἀποθνήσκοντας βοῦς, τρόπον τόνδε τὰς μὲν Θηλέας ἐς τὸν ποταμὸν ἀπιᾶσι· τὺς δὲ ἔρσενας κατορύσσυσι ἕκαστοι ἐν τοῖσι προαστείοισι,

тушу вола начиняютъ чистыми хлѣбами, медомъ, изюмомъ, винными ягодами, ладаномъ, миррою и другими аромапами, и все сіе зажигаютъ, поливая жертву елеемъ изобильно. Предъ жертвоприношеніемъ обыкновенно постятся; а во время горѣнія жертвъ, всѣ бьютъ себя въ грудь; по окончаніи чего, предлагаютъ пиръ изъ остапковъ жертвенныхъ.

XLI. Всѣ Египтяне приносятъ въ жертву воловъ и тельцовъ чистыхъ; коровъ приносить въ жертву не позволено: онѣ посвящены Изидѣ. Ибо сія богиня изображается женщиною, съ рогами на головѣ, такъ точно, какъ Эллины изображаютъ Іо; и для того Египтяне уважаютъ коровъ болѣе всякаго скота. По сей-то причинѣ ни одинъ Египтянинъ, ни Египтянка не поцѣлуетъ Эллина въ уста, не пронетъ ни ножа его, ни рожна, ни горшка, ни даже не станетъ ѣсть мяса чистаго вола, которое разрѣзано ножемъ Эллинскимъ. Околѣвшихъ воловъ хоронятъ слѣдующимъ образомъ: коровъ кидаютъ въ рѣку; а быковъ зарываютъ въ предмѣстіи города, выставивъ изъ земли одинъ или оба рога для примѣты. Когда же трупъ сгніетъ и наступитъ установленное время, въ каждый городъ

τὸ κέρας τὸ ἕτερον ἢ καὶ ἀμφότερα ὑπερέχοντα, σημήϊόν εἶνεκεν· ἐπεὰν δὲ σαπῇ, καὶ προσίῃ ὁ τεταγμένος χρόνος, ἀπικνέεται ἐς ἑκάστην πόλιν βάρις ἐκ τῆς Προσωπίτιδος καλευμένης νήσου. ἡ δ' ἔστι μὲν ἐν τῷ Δέλτα, περίμετρον δὲ αὐτῆς εἰσὶ σχοῖνοι ἐννέα. ἐν ταύτῃ ὧν τῇ Προσωπίτιδι νήσῳ ἔνεισι μὲν καὶ ἄλλαι πόλιες σύγχυαι· ἐκ τῆς δὲ αἱ βάρις παραγίνονται ἀναιρησόμεναι τὰ ὀστέα τῶν βοῶν, οὔνομα τῇ πόλι Ἀτάρβηχις. ἐν δ' αὐτῇ Ἀφροδίτης ἱρὸν ἅγιον ἵδρυται. ἐκ ταύτης τῆς πόλιος πλανέονται πολλοὶ ἄλλοι ἐς ἄλλας πόλις· ἀνορύξαντες δὲ τὰ ὀστέα, ἀπάγουσι καὶ θάπτουσι ἐς ἕνα χῶρον πάντες. κατὰ ταὐτὰ δὲ τοῖσι βουσὶ καὶ τἄλλα κτήνεα θάπτουσι ἀποθνήσκοντα, καὶ γὰρ περὶ ταῦτα οὕτω σφι νενομοθέτηται. κτείνουσι γὰρ δὴ οὐδὲ ταῦτα.

42. Ὅσοι μὲν δὴ Διὸς Θηβαιέος ἵδρυνται ἱρόν, ἢ νομῷ τῷ Θηβαίῳ εἰσὶ, ἔτοι μέν νυν πάντες οἰῶν ἀπεχόμενοι, αἶγας θύουσι. θεοὺς γὰρ δὴ οὐ τοὺς αὐτοὺς ἅπαντες ὁμοίως Αἰγύπτιοι σέβονται, πλὴν Ἶσιός τε καὶ Ὀσίριος, τὸν δὴ Διόνυσον εἶναι λέγουσι· τούτους δὲ ὁμοίως ἅπαντες σέβονται, ὅσοι δὲ τῷ Μένδητος ἔκτηνται ἱρόν, ἢ νομῷ τῷ Μενδησίῳ εἰσὶ, οὗτοι δὲ αἰγῶν ἀπεχόμενοι, ὄϊς θύουσι. Θηβαῖοι μέν νυν, καὶ ὅσοι

приходитъ судно съ острова Просопитиды, лежащаго въ Дельтѣ, и имѣющаго въ окружности девять схиновъ. На семъ островѣ находится много городовъ, въ числѣ коихъ и тотъ, изъ котораго разсылаются суда для отвоза бычьихъ костей; имя ему Атарвихисъ, въ коемъ есть храмъ, посвященный Афродитѣ. Изъ сего-то города во множествѣ разъѣзжаютъ жители по другимъ городамъ для опирыванія костей, увозятъ ихъ и всѣ зарываютъ въ одно мѣсто. Такимъ же образомъ зарываютъ и всякую другую околѣвшую скотину; ибо и о всякой скотинѣ есть такое же установленіе; равно запрещено никакаго животнаго не убивать.

XLII. Въ тѣхъ городахъ, гдѣ есть храмъ, посвященный Зевсу Ѳивейскому или кои принадлежатъ къ Ѳивейскому ному, жители воздерживаются отъ овецъ, а приносятъ въ жертву козъ. Ибо не всѣ Египтяне почитаютъ однихъ и тѣхъ же боговъ, кромѣ Изиды и Озирида, коего почитаютъ они Вакхомъ. Тѣ же, кои соорудили для себя храмъ во имя Мендиса или принадлежатъ къ ному Мендисову, воздерживаются отъ козъ, а приносятъ въ жертву овецъ. Ѳивяне и другіе народы, по примѣру ихъ, воздерживающіеся

διὰ τύτες οἴων ἀπέχονται, διὰ τάδε λέγυσι τὸν νόμον τόνδε σφι τεθῆναι. Ἡρακλέα θελῆσαι πάντως ἰδέσθαι τὸν Δία, καὶ τὸν οὐκ ἐθέλειν ὀφθῆναι ὑπ' αὐτῦ. τέλος δὲ, ἐπεί τε λιπαρέειν τὸν Ἡρακλέα, τὸν Δία μηχανήσασθαι, κριὸν ἐκδείραντα, προέχεσθαί τε τὴν κεφαλὴν ἀποταμόντα τῦ κριῦ, καὶ ἐνδύντα τὸ νάκος, ὕτω οἱ ἐωϋτὸν ἐπιδέξαι. Ἀπὸ τύτυ κριοπρόσωπον τὤγαλμα τῦ Διὸς ποιεῦσι Αἰγύπτιοι· ἀπὸ δὲ Αἰγυπτίων, Ἀμμώνιοι, ἐόντες Αἰγυπτίων τε καὶ Αἰθιόπων ἄποικοι, καὶ φωνὴν μεταξὺ ἀμφοτέρων νομίζοντες. δοκέειν δ' ἐμοὶ, καὶ τοὔνομα Ἀμμώνιοι ἀπὸ τοῦδε σφι τὴν ἐπωνυμίην ἐποιήσαντο· Ἄμμον γὰρ Αἰγύπτιοι καλέυσι τὸν Δία. τοὺς δὲ κριοὺς οὐ θύυσι Θηβαῖοι, ἀλλ' εἰσί σφι ἱροὶ διὰ τοῦτο. μιῇ δὲ ἡμέρῃ τοῦ ἐνιαυτοῦ, ἐν ὁρτῇ τοῦ Διὸς, κριὸν ἕνα καταχόψαντες καὶ ἀποδείραντες, κατὰ τὠϋτὸ ἐνδύυσι τὤγαλμα τοῦ Διός· καὶ ἔπειτα ἄλλο ἄγαλμα Ἡρακλέος προσάγυσι πρὸς αὐτό· ταῦτα δὲ ποιήσαντες, τύπτονται οἱ περὶ τὸ ἱρὸν ἅπαντες τὸν κριὸν, καὶ ἔπειτα ἐν ἱρῇ θήκῃ θάπτυσι αὐτόν.

43. Ἡρακλέος δὲ πέρι τόνδε τὸν λόγον ἤκυσα, ὡς εἴη τῶν δυώδεκα θεῶν· τοῦ ἑτέρυ δὲ πέρι

отъ овецъ, сказываютъ, что законъ сей постановленъ у нихъ для слѣдующей причины. „Ираклъ хотѣлъ непремѣнно видѣть Зевса; а Зевсъ того не хотѣлъ. Наконецъ, когда Ираклъ усильно просилъ его о томъ, Зевсъ вздумалъ ободрать барана; потомъ, отрѣзавъ у него голову, поднялъ впереди себя, одѣлся въ его руно, и въ такомъ видѣ показалъ себя Ираклу.“ Съ того времени Египтяне представляютъ Зевса въ видѣ барана; а отъ нихъ заняли сіе *Аммоняне*, кои составляютъ поселеніе Египтянъ и Эѳіоповъ, и говорятъ языкомъ, смѣшаннымъ изъ нарѣчій обоихъ сихъ народовъ. Мнѣ кажется, что Аммоняне и названіе свое получили отъ него: ибо Египтяне Зевса называютъ *Аммунъ*. Для сего-то Ѳиваяне не приносятъ въ жертву барановъ и почитаютъ ихъ священными. Однакожъ въ одинъ день въ году, въ праздникъ Зевса, одного барана закалываютъ, и ободравъ его, равнымъ образомъ руно его надѣваютъ на ваяніе Зевса; потомъ приставляютъ къ нему ваяніе Иракла и всѣ, находящіеся около храма, бьютъ барана и наконецъ погребаютъ его на священномъ кладьбищѣ.

XLIII. Объ Ираклѣ же слышалъ я, что онъ есть одинъ изъ двенадцати боговъ; о томъ же Ираклѣ, который извѣстенъ Элли-

Ἡρακλέος, τὸν Ἕλληνες οἴδασι, οὐδαμῇ Αἰγύπτου ἐδυνάσθην ἀιχθῆσαι. καὶ μὴν ὅτι γε ὑπ' Ἑλλήνων ἔλαβον τοὔνομα τοῦ Ἡρακλέος Αἰγύπτιοι, ἀλλὰ Ἕλληνες μᾶλλον παρ' Αἰγυπτίων, καὶ Ἑλλήνων οὗτοι οἱ θέμενοι τῷ Ἀμφιτρύωνος γόνῳ οὔνομα Ἡρακλέα, πολλά μοι καὶ ἄλλα τεκμήρια ἐστι τοῦτο οὕτω ἔχειν, ἐν δὲ δὴ καὶ τόδε· ὅτι τε τοῦ Ἡρακλέος τοῦτο οἱ γονέες ἀμφότεροι ἦσαν Ἀμφιτρύων καὶ Ἀλκμήνη, γεγονότες τὸ ἀνέκαθεν ἀπ' Αἰγύπτου· καὶ διότι Αἰγύπτιοι οὔτε Ποσειδέωνος οὔτε Διοσκούρων τὰ οὐνόματά φασι εἰδέναι, οὐδέ σφι θεοὶ οὗτοι ἐν τοῖσι ἄλλοισι θεοῖσι ἀποδεδέχαται. καὶ μὴν εἴ γε παρ' Ἑλλήνων ἔλαβον οὔνομά τευ δαίμονος, τούτων οὐκ ἧκισα, ἀλλὰ μάλιστα ἔμελλον μνήμην ἕξειν, εἴπερ καὶ τότε ναυτιλίῃσι ἐχρέωντο, καὶ ἦσαν Ἑλλήνων τινὲς ναυτίλοι, ὡς ἔλπομαί τε καὶ ἐμὴ γνώμη αἱρέει, ὥστε τετέων ἂν καὶ μᾶλλον τῶν θεῶν τὰ οὐνόματα ἐξεπιστέατο Αἰγύπτιοι ἢ τοῦ Ἡρακλέος. ἀλλά τις ἀρχαῖός ἐστι θεὸς Αἰγυπτίοισι Ἡρακλέης· ὡς δὲ αὐτοὶ λέγουσι, ἕτεά ἐστι ἑπτακισχίλια καὶ μύρια ἐς Ἄμασιν βασιλεύσαντα, ἐπεί τε ἐκ τῶν ὀκτὼ θεῶν οἱ δυώδεκα θεοὶ ἐγένοντο, τῶν Ἡρακλέα ἕνα νομίζουσι.

44. Καὶ θέλων δὲ τούτων περὶ σαφές τι εἰδέναι ἐξ ὧν οἷόν τε ἦν, ἔπλευσα καὶ ἐς Τύρον

намъ, я нигдѣ въ Египтѣ не слыхалъ ничего. И даже имя Иракла не Египтяне заимствовали отъ Эллиновъ, а Эллины отъ Египтянъ, и изъ Эллиновъ тѣ самые, кои дали имя Иракла сыну Амфитріона. Что сіе такъ было, доказательствомъ для меня, кромѣ многаго другаго, служитъ и то, что родители Иракла: Амфитріонъ и Алкмена были родомъ изъ Египта и что Египтянамъ, какъ они говорятъ, неизвѣстно имя ни Посидона ни Діоскуровъ, и сіи боги не внесены и въ число другихъ боговъ. Если бы они приняли имя какаго божества отъ Эллиновъ: то безъ сомнѣнія сохранили бы оное въ памяти; ибо тогда уже они занимались мореплаваніемъ и нѣкоторые также изъ Эллиновъ имъ занимались. Изъ сего заключаю, и мнѣніе мое не безъ основанія, что Египтяне знали бы имена тѣхъ боговъ больше, нежели имя Иракла. Какъ бы то ни было, Иракл Египетскій есть одинъ изъ древнихъ боговъ ихъ: ибо они увѣряютъ, что за семнадцать тысячъ лѣтъ до царствованія Амазисова число восьми боговъ возрасло до двенадцати, между коими считаютъ они и Иракла.

XLIV. Желая узнать о семъ точнѣе откуда бы то ни было, я поплылъ въ Финикійскій городъ *Тиръ*, услышавъ, что тамъ

τῆς Φοινίκης, πυνθανόμενος αὐτόθι εἶναι ἱρὸν Ἡρακλέος ἅγιον· καὶ ἰδον πλεσίως κατεσκευασμένον ἄλλοισί τε πολλοῖσι ἀναθήμασι, καὶ ἐν αὐτῷ ἦσαν στῆλαι δύο, ἡ μὲν, χρυσοῦ ἀπέφθε· ἡ δὲ, σμαράγδε λίθε, λάμποντος τὰς νύκτας μέγαθος. ἐς λόγες δὲ ἐλθὼν τοῖσι ἱρεῦσι τὸ θεοῦ, εἰρόμην ὁκόσος χρόνος εἴη ἐξ ὃ σφι τὸ ἱρὸν ἵδρυται. εὗρον δὲ ὐδὲ τύτες τοῖσι Ἕλληνοι συμφερομένες. ἔφασαν γὰρ ἅμα Τύρῳ οἰκιζομένῃ καὶ τὸ ἱρὸν τῷ θεῷ ἱδρυθῆναι· εἶναι δὲ ἕτεα ἀΦ' οὗ Τύρον οἰκέσι, τριηκόσια καὶ δισχίλια. εἶδον δὲ ἐν τῇ Τύρῳ καὶ ἄλλο ἱρὸν Ἡρακλέος, ἐπωνυμίην ἔχοντος Θασίε εἶναι. ἀπικόμην δὲ καὶ ἐς Θάσον, ἐν τῇ εὗρον ἱρὸν Ἡρακλέος ὑπὸ Φοινίκων ἱδρυμένον, οἳ κατ' Εὐρώπης ζήτησὶν ἐκπλώσαντες, Θάσον ἔκτισαν· καὶ ταῦτα καὶ πέντε γενεῇσι ἀνδρῶν πρότερά ἐσι ἢ τὸν Ἀμφιτρύωνος Ἡρακλέα ἐν τῇ Ἑλλάδι γενέσθαι. τὰ μέν νυν ἱσορημένα δηλοῖ σαφέως παλαιὸν θεὸν τὸν Ἡρακλέα ἐόντα. καὶ δοκέοσι δέ μοι ἔτοι ὀρθότατα Ἑλλήνων ποιέειν, οἳ διξὰ Ἡράκλεια ἱδρυσάμενοι ἔκτηνται· καὶ τῷ μέν, ὡς ἀθανάτῳ, Ὀλυμπίῳ δὲ ἐπωνυμίην, θύεσι· τῷ δ' ἑτέρῳ, ὡς ἥρωϊ ἐναγίζεσι.

45. Λέγεσι δὲ πολλὰ καὶ ἄλλα ἀνεπισκέπτως οἱ Ἕλληνες· εὐήθης δὲ αὐτέων καὶ ὅδε ὁ

есть *храмъ*, посвященный *Ираклу*, и видѣлъ, что храмъ сей богато одаренъ многими вкладами. Въ немъ есть двѣ колонны: одна изъ чистаго золота, другая изъ смарагда, ночью изливающаго большое сіяніе. Войдя со жрецами сего бога въ разговоръ, я спросилъ ихъ, какъ давно храмъ сей построенъ; и узналъ, что и они не согласны съ Эллинами. Они сказали, что храмъ сей построенъ въ одно время съ населеніемъ города Тира; въ Тирѣ же начали жить за двѣ тысячи лѣтъ предъ тѣмъ. Я видѣлъ въ Тирѣ и другой храмъ Иракла, проименованнаго *Θасійскимъ*. Былъ я и въ Θасѣ и нашелъ тамъ храмъ, сооруженный тѣми Финикіянами, которые, отправившись моремъ для открытія Европы, построили упомянутый городъ; и сіе случилось пятью поколѣніями людей прежде Иракла, сына Амфитріонова, родившагося въ Элладѣ. Изъ сего повѣствованія ясно открывается, что Иракль есть древній богъ. По сему, кажется мнѣ, весьма справедливо поступаютъ тѣ Эллины, кои построили для себя два храма Ираклу, и одному изъ нихъ, проименованному Олимпійскимъ, какъ безсмертному, приносятъ жертвы; другому воздаютъ почести, какъ герою.

XLV. Сверхъ сего Эллины разсказываютъ много и другихъ нелѣпостей, между

μῦθός ἐσι, τὸν περὶ τοῦ Ἡρακλέος λέγουσι· ὡς αὐτὸν ἀπικόμενον ἐς Αἴγυπτον σέψαντες οἱ Αἰγύπτιοι, ὑπὸ πομπῆς ἐξῆγον ὡς θύσοντες τῷ Διί· τὸν δὲ, τέως μὲν ἡσυχίην ἔχειν· ἐπεὶ δὲ αὐτοῦ πρὸς τῷ βωμῷ κατάρχοντο, ἐς ἀλκὴν τραπόμενον, πάντας σφέας κτανέειν. ἐμοὶ μέν νυν δοκέουσι, ταῦτα λέγοντες, τῆς Αἰγυπτίων Φύσιος καὶ τῶν νόμων πάμπαν ἀπείρως ἔχειν οἱ Ἕλληνες. τοῖσι γὰρ ὄϊδε κτήνεα ὁσίη θύειν ἐσὶ, χωρὶς ὑῶν, καὶ ἐρσένων βοῶν καὶ μόσχων, ὅσοι ἂν καθαροὶ ἔωσι, καὶ χηνέων· κῶς ἂν ὄϊτοι ἀνθρώπους θύοιεν; ἔτι δὲ ἕνα ἐόντα τὸν Ἡρακλέα, καὶ ἔτι ἄνθρωπον, ὡς δή φασι, κῶς φύσιν ἔχει πολλὰς μυριάδας φονεῦσαι; καὶ περὶ μὲν τούτων τοσαῦτα ἡμῖν εἰποῦσι, καὶ παρὰ τῶν θεῶν καὶ παρὰ τῶν ἡρώων εὐμένεια εἴη.

46. Τὰς δὲ δὴ αἶγας καὶ τοὺς τράγους τῶνδε εἵνεκα οὐ θύουσι Αἰγυπτίων οἱ εἰρημένοι. τὸν Πᾶνα τῶν ὀκτὼ θεῶν λογίζονται εἶναι οἱ Μενδήσιοι. τοὺς δὲ ὀκτὼ θεοὺς τέτις, πρότερος τῶν δυώδεκα θεῶν φασὶ γενέσθαι. γλύφουσί τε δὴ καὶ γλύφουσι οἱ ζωγράφοι καὶ οἱ ἀγαλματοποιοὶ τὸ Πανὸς τῶγαλμα, κατάπερ Ἕλληνες, αἰγοπρόσωπον καὶ τραγοσκελέα· οὔτι τοιοῦτον

прочимъ и невѣроятную баснь объ Ираклѣ. Они говорятъ, что „Египтяне, по прибытіи Иракла къ нимъ, увѣнчавъ его, вывели съ церемоніею для принесенія въ жертву Зевесу. Иракль сначала былъ покоенъ; но, когда привели его къ жертвеннику, обнаружилъ свою силу и всѣхъ перебилъ.“ Сказавшіе сіе Эллины, кажется мнѣ, вовсе не знаютъ свойствъ Египтянъ и ихъ узаконеній. Кому запрещено приносить въ жертву животныхъ, исключая овецъ, быковъ и тельцовъ, если они чисты, также гусей; какъ тѣ могутъ приносить въ жертву людей? Сверхъ того, поелику Иракль былъ одинъ и при томъ человѣкъ, какъ они сами говорятъ; то возможно ли, чтобы онъ побилъ тысячи? Но сказанное нами доселѣ да примутъ боги и ироп въ добрую сторону.

XLVI. Козъ же и козловъ нѣкоторые изъ Египтянъ, о коихъ выше упомянуто, не приносятъ въ жертву по слѣдующей причинѣ. Мендисіяне почитаютъ Пана въ числѣ восьми боговъ; сіи восемь боговъ, сказываютъ, были прежде двенадцати боговъ. Живописцы и рѣзчики представляютъ Пана совершенно такъ, какъ и Эллинскіе, съ лицемъ козьимъ, а ногами козловыми, не потому, будто думаютъ, что онъ дѣйствительно таковъ; ибо почитаютъ его подобнымъ другимъ богамъ.

νομίζοντες εἶναί μιν, ἀλλ' ὁμοῖον τοῖσι ἄλλοισι θεοῖσι. ὅτευ δὲ εἵνεκα τοιοῦτον γράφεσι αὐτὸν, οὔ μοι ἥδιόν ἐστι λέγειν. σέβονται δὲ πάντας τοὺς αἶγας οἱ Μενδήσιοι, καὶ μᾶλλον τοὺς ἔρσενας τῶν θηλέων. καὶ τούτων οἱ αἰπόλοι τιμὰς μέζονας ἔχεσι· ἐκ δὲ τούτων εἷς μάλιστα, ὅστις ἐπεὰν ἀποθάνῃ, πένθος μέγα παντὶ τῷ Μενδησίῳ νομῷ τίθεται. καλέεται δὲ ὅ, τε τράγος καὶ ὁ Πὰν Αἰγυπτιστὶ, Μένδης. ἐγένετο δ' ἐν τῷ νομῷ τούτῳ ἐπ' ἐμεῦ τοῦτο τὸ τέρας· γυναικὶ τρίγος ἐμίσγετο ἀναφανδόν. τοῦτο ἐς ἐπίδεξιν ἀνθρώπων ἀπίκετο.

47. Ἦν δὲ Αἰγύπτιοι μιαρὸν ἥγηνται θηρίον εἶναι, καὶ τοῦτο μέν, ἤν τις ψαύσῃ αὐτῶν παριὼν ὑὸς, αὐτοῖσι ἱματίοισι ἀπ' ὧν ἔβαψε ἑωυτὸν, βὰς ἐπὶ τὸν ποταμόν· τοῦτο δὲ, οἱ συβῶται, ἐόντες Αἰγύπτιοι ἐγγενέες, ἐς ἱρὸν οὐδὲν τῶν ἐν Αἰγύπτῳ ἐσέρχονται μοῦνοι πάντων· οὐδὲ σφι ἐκδίδοσθαι θυγατέρα οὐδεὶς ἐθέλει, οὐδ' ἄγεσθαι ἐξ αὐτέων· ἀλλ' ἐκδίδονταί τε οἱ συβῶται καὶ ἄγονται ἐξ ἀλλήλων. τοῖσι μέν νυν ἄλλοισι θεοῖσι θύειν ὖς οὐ δικαιεῦσι Αἰγύπτιοι· Σελήνῃ δὲ καὶ Διονύσῳ μούνοισι, τοῦ αὐτοῦ χρόνου, τῇ αὐτῇ πανσελήνῳ, τοὺς ὖς θύσαντες, πατέονται τῶν κρεῶν. διότι δὲ τοὺς ὖς ἐν μὲν τῇσι ἄλλῃσι ὁρτῇσι ἀπεστυγήκασι, ἐν δὲ ταύτῃ θύουσι, ἔστι μὲν λόγος περὶ αὐτοῦ ὑπ' Αἰγυπτίων

нею идутъ женщины, воспѣвая стихи Вакху. Для чего же дѣторо́дный членъ бываетъ больше и приномъ онъ одинъ движется въ шѣлѣ, сему приводится какая-то священная причина.

XLIX. Мнѣ кажется, что Мелампу, сыну Амиѳеона были уже извѣстны обряды сего жертвоприношенія; ибо онъ ввелъ у Эллиновъ имя Вакха (Діониса), жертвоприношеніе сіе и торжественный ходъ съ фалломъ. Однакожъ онъ не совершенно объяснилъ сей предмѣтъ; но послѣ его подробнѣе изложили другіе ученые мужи. Фалла же священный ходъ въ честь Вакху дѣйствительно введенъ Мелампомъ; отъ него Эллины научились дѣлать то, что они дѣлаютъ. По сему я почитаю Мелампа мужемъ ученымъ, который пріобрѣлъ свѣденія въ наукѣ предсказанія, и между многими другими ученіями, пріобрѣтенными имъ въ Египтѣ, научилъ онъ Эллиновъ и обрядамъ Вакхова празднества, съ нѣкоторою перемѣною. Ибо не могло произойти случайно то, чтобы въ Элладѣ совершались такіе же обряды въ честь сему богу, какіе въ Египтѣ; въ семъ предположеніи они были бы сходны съ другими обычаями Эллиновъ, а не казались бы введенными вновь и для нихъ чуждыми. Не могу также сказать и того, чтобы Египтяне заимство-

ἢ ἄλλό κθ τι νόμαιον. πυθέσθαι δέ μοι δοκέει μάλιστα Μελάμπους τὰ περὶ τὸν Διόνυσον παρὰ Κάδμου τε τοῦ Τυρίου, καὶ τῶν σὺν αὐτῷ ἐκ Φοινίκης ἀπικομένων ἐς τὴν νῦν Βοιωτίην καλεομένην χώρην.

50. Σχεδὸν δὲ καὶ πάντα τὰ ὀνόματα τῶν θεῶν ἐξ Αἰγύπτου ἐλήλυθε ἐς τὴν Ἑλλάδα. διότι μὲν γὰρ ἐκ τῶν βαρβάρων ἦκει, πυνθανόμενος ἔτω εὑρίσκω ἐόν. δοκέω δ' ὧν μάλιστα ἀπ' Αἰγύπτου ἀπῖχθαι. ὅτι γὰρ δὴ μὴ Ποσειδέωνος, καὶ Διοσκούρεων, ὡς καὶ πρότερόν μοι ταῦτα εἴρηται, καὶ Ἥρης, καὶ Ἱστίης, καὶ Θέμιος, καὶ Χαρίτων, καὶ Νηρηίδων, τῶν ἄλλων θεῶν Αἰγυπτίοισι αἰεί κοτε τὰ ὀνόματά ἐστι ἐν τῇ χώρῃ· λέγω δὴ τὰ λέγεσι αὐτοὶ Αἰγύπτιοι. τῶν δὲ οὔ φασι θεῶν γινώσκειν τὰ οὐνόματα, οὗτοι δέ μοι δοκέουσι ὑπὸ Πελασγῶν ὀνομασθῆναι, πλὴν Ποσειδέωνος· τοῦτον δὲ τὸν θεὸν παρὰ Λιβύων ἐπύθοντο. οὐδαμοὶ γὰρ ἀπ' ἀρχῆς Ποσειδέωνος οὔνομα ἔχτηνται, εἰ μὴ Λίβυες· καὶ τιμέουσι τὸν θεὸν τοῦτον αἰεί. νομίζεσι δ' ὧν Αἰγύπτιοι ὀδ' ἥρωσι οὐδέν.

51. Ταῦτα μέν νυν, καὶ ἄλλα πρὸς τούτοισι τὰ ἐγὼ φράσω, Ἕλληνες ἀπ' Αἰγυπτίων νενομίκασι. τοῦ δὲ Ἑρμέω τὰ ἀγάλματα ὀρθὰ ἔχειν τὰ αἰδοῖα ποιεῦντες, ὐκ ἀπ' Αἰγυπτίων μεμα-

вали отъ Эллиновъ сіе или другое какое установленіе. Мнѣ кажется, Мелампъ то, что принадлежитъ до богопочитанія Вакха, перенялъ наипаче отъ Кадма и отъ Финикіянъ, пришедшихъ съ симъ Тирянином въ страну, называемую нынѣ Віотіею.

L. Почти и всѣ имена боговъ перешли изъ Египта въ Элладу. Ибо, изслѣдывая оныя, нахожу, что онѣ принесены отъ иностранцевъ, а наипаче изъ Египта. И дѣйствительно, исключивъ Посидона и Діоскуровъ, о чемъ и прежде мною сказано, также Иру (Юнону), Истію (Весту), Ѳемиду, Харитъ и Ниріидъ, имена прочихъ боговъ издавна находились въ сей странѣ; я говорю то, что говорятъ сами Египтяне. Коихъ же боговъ именъ выдаютъ они себя незнающими; тѣмъ, кажется мнѣ, дали имена Пеласги, кромѣ Посидона, о коемъ понятіе получили Эллины отъ Ливійцевъ. Ибо ни одинъ народъ въ началѣ не зналъ имени Посидона, выключая Ливійцевъ, всегда почитавшихъ его за бога. Впрочемъ Египтяне героямъ не воздаютъ никакаго богопочитанія.

LI. Изъ сего видно, что Эллины приняли отъ Египтянъ какъ описанныя мною установленія, такъ и другія, о коихъ я буду говорить въ послѣдствіи. Что же ваянія Ермія дѣлаютъ съ прямымъ тайнымъ удомъ, это

θήκαοι, ἀλλ' ἀπὸ Πελασγῶν, πρῶτοι μὲν Ἑλλήνων ἁπάντων Ἀθηναῖοι παραλαβόντες, παρὰ δὲ τούτων οἱ ἄλλοι. Ἀθηναίοισι γὰρ ἤδη τηνικαῦτα ἐς Ἕλληνας τελέουσι Πελασγοὶ σύνοικοι ἐγένοντο ἐν τῇ χώρῃ ὅθεν περ καὶ Ἕλληνες ἤρξαντο νομισθῆναι. ὅσις δὲ τὰ Καβείρων ὄργια μεμύηται, τὰ Σαμοθρήϊκες ἐπιτελέουσι παραλαβόντες παρὰ Πελασγῶν, οὗτος ὡνὴρ οἶδε τὸ λέγω. τὴν γὰρ Σαμοθρηίκην οἴκεον πρότερον Πελασγοὶ ἕτοι, τοὶ περ Ἀθηναίοισι σύνοικοι ἐγένοντο, καὶ παρὰ τούτων Σαμοθρήϊκες τὰ ὄργια παραλαμβάνουσι. ὀρθὰ ὧν ἔχειν τὰ αἰδοῖα τἀγάλματα τῷ Ἑρμέω, Ἀθηναῖοι πρῶτοι Ἑλλήνων παρὰ Πελασγῶν μαθόντες, ἐποιήσαντο. οἱ δὲ Πελασγοὶ ἱρόν τινα λόγον περὶ αὐτοῦ ἔλεξαν, τὰ ἐν τοῖσι ἐν Σαμοθρηίκῃ μυστηρίοισι δεδήλωται.

52. Ἔθνον δὲ πάντα πρότερον οἱ Πελασγοὶ θεοῖσι ἐπευχόμενοι, ὡς ἐγὼ ἐν Δωδώνῃ οἶδα ἀκούσας· ἐπωνυμίην δ' οὐδ' οὔνομα ἐποιεῦντο οὐδενὶ αὐτέων· οὐ γὰρ ἀκηκόεσάν κω. θεοὺς δὲ προσωνόμασάν σφεας ἀπὸ τοῦ τοιούτου, ὅτι κόσμῳ θέντες τὰ πάντα πρήγματα καὶ πάσας νομὰς εἶχον. ἔπειτεν δὲ χρόνῳ πολλῷ διεξελθόντος, ἐπύθοντο ἐκ τῆς Αἰγύπτου ἀπικόμενα τὰ οὐνόματα τῶν θεῶν τῶν ἄλλων, Διονύσου δὲ ὕστερον πολλῷ ἐπύθοντο· καὶ μετὰ χρόνον ἐχρη-

перенялн они не отъ Египтянъ, но отъ Пеласговъ. Первые изъ Эллиновъ заимствовали сіе Аѳиняне, а отъ нихъ и другіе. Ибо съ Аѳинянами, кои тогда причислялись къ Эллинамъ, обитали на одной землѣ и Пеласги, отъ чего и начали называться Эллинами. Кто посвященъ въ таинства Кавировъ, совершаемыя Самоѳракіійцами, тотъ знаетъ, о чемъ я говорю. Въ Самоѳракіи прежде жили Пеласги, тѣ самые, кои потомъ жили съ Аѳинянами; и отъ нихъ Самоѳракіійцы заняли таинства. И такъ Аѳиняне первые изъ Эллиновъ, научась у Пеласговъ, начали дѣлать Эрмія съ прямымъ тайнымъ удомъ. Пеласги приводили на то какую-то священную причину, которая объясняется въ Самоѳракійскихъ таинствахъ.

LII. Пеласги первоначально всякія жертвы приносили богамъ вообще, какъ меня увѣряли въ Додонѣ; но проименованіемъ или именемъ ни одного изъ нихъ не называли: ибо оныхъ еще не слыхали. Ихъ называли только именемъ *Θεοσ* (Богъ) потому, что они все положили (*θέντες*) или привели въ порядокъ и распредѣлили, какъ должно. Потомъ, по прошествіи многаго времени, узнали имена другихъ боговъ, изъ Египта принесенныя; но имя Вакха узнали гораздо позже. Спустя нѣсколько, вопрошали о сихъ именахъ Додонское про-

κηριάζοντο περὶ τῶν οὐνομάτων ἐν Δωδώνῃ. τὸ γὰρ δὴ μαντήϊον τῦτο νενόμισαι ἀρχαιότατον τῶν ἐν Ἕλλησι χρηστηρίων εἶναι· καὶ ἦν τὸν χρόνον τῦτον μοῦνον. ἐπεὶ οὖν ἐχρηστηριάζοντο ἐν τῇ Δωδώνῃ οἱ Πελάσγοὶ, εἰ ἀνέλωνται τὰ οὐνόματα τὰ ἀπὸ τῶν βαρβάρων ἤκοντα, ἀνεῖλε τὸ μαντήϊον χρᾶσθαι. ἀπὸ μὲν δὴ τούτε τοῦ χρόνε ἔθνον, τοῖσι οὐνόμασι τῶν θεῶν χρεώμενοι. παρὰ δὲ Πελασγῶν Ἕλληνες ἐξεδέξαντο ὕστερον.

53. Ἔνθεν δὲ ἐγένετο ἕκαστος τῶν θεῶν, εἴτε δ' ἀεὶ ἦσαν πάντες, ὁκοῖοί τέτινες τὰ εἴδεα, οὐκ ἠπιστέατο μέχρι οὗ πρώην τε καὶ χθὲς, ὡς εἰπεῖν λόγῳ. Ἡσίοδον γὰρ καὶ Ὅμηρον ἡλικίην τετρακοσίοισι ἔτεσι δοκέω μευ πρεσβυτέρυς γενέσθαι, καὶ οὐ πλέοσι. οὗτοι δέ εἰσι οἱ ποιήσαντες θεογονίην Ἕλλησι, καὶ τοῖσι θεοῖσι τὰς ἐπωνυμίας δόντες, καὶ τιμάς τε καὶ τέχνας διελόντες, καὶ εἴδεα αὐτῶν σημήναντες. οἱ δὲ πρότερον ποιηταὶ λεγόμενοι τούτων τῶν ἀνδρῶν γενέσθαι, ὕστερον, ἐμοί γε δοκέειν, ἐγένοντο τούτων. καὶ τὰ μὲν πρῶτα αἱ Δωδωνίδες ἱρήιαι λέγυσι· τὰ δὲ ὕστερα, τὰ ἐς Ἡσίοδόν τε καὶ Ὅμηρον ἔχοντα, ἐγὼ λέγω.

54. Χρηστηρίων δὲ πέρι τοῦ τε ἐν Ἕλλησι καὶ τοῦ ἐν Λιβύῃ, τόνδε Αἰγύπτιοι λόγον λέγουσι. ἔφασαν οἱ ἱρέες τοῦ Θηβαιέος Διὸς, δύο γυναῖκας ἱρήιας ἐκ Θηβέων ἐξαχθῆναι ὑπὸ Φοι-

рицалище; ибо оно изъ Эллинскихъ прорицалищъ почиталось всѣхъ древнѣйшимъ, и въ то время одно только оно и было у нихъ. Пеласги вопрошали: принять ли имъ имена боговъ, пришедшіи къ нимъ отъ иноземцевъ.“ Прорицалище отвѣчало: „принять.“ И съ того времени при жертвоприношеніяхъ стали они употреблять имена боговъ; а съ нихъ взяли примѣръ и Эллины.

LIII. Откуда взялся каждый изъ боговъ, или всегда ли они всѣ были, также каковъ ихъ ликъ, сего Эллины не знали, такъ сказать, до вчерашняго дня. Ибо я считаю, что Исіодъ и Омиръ были прежде меня не больше какъ за четыреста лѣтъ. Они создали Эллинамъ *Θεογονίιο* (богорожденіе), дали богамъ применованія, раздѣлили между ними почести и искуства, и назначили каждому лики. Прочіе же Поэты, почитаемые древнѣйшими ихъ, по мнѣнію моему, были послѣ ихъ. Сказанное мною выше слышалъ я отъ Додонскихъ жрицъ; а то, что сказалъ я объ Исіодѣ и Омирѣ, говорю отъ себя.

LIV. Объ Оракулахъ какъ о Эллинскомъ, такъ и о Ливійскомъ, Египтяне повѣствуютъ слѣдующее. Мнѣ разсказывали жрецы Θивейскаго Зевса, что „двѣ жрицы Финикіянами уведены были изъ Θивъ; одна изъ нихъ, какъ

νίκων· καὶ τὴν μὲν αὐτέων πυθέσθαι ἐς Λιβύην πρηθεῖσαν, τὴν δὲ ἐς τοὺς Ἕλληνας· ταύτας δὲ τὰς γυναῖκας εἶναι τὰς ἱδρυσαμένας τὰ μαντήια πρώτας ἐν τοῖσι εἰρημένοισι ἔθνεσι. εἰρομένω δέ μευ ὁκόθεν οὕτω ἀτρεκέως ἐπιστάμενοι λέγεσι, ἔφασαν πρὸς ταῦτα ζήτησιν μεγάλην ἀπὸ σφέων γενέσθαι τῶν γυναικῶν τυτέων· καὶ ἀνευρεῖν μέν σφεας οὐ δυνατοὶ γενέσθαι· πυθέσθαι δὲ ὕστερον ταῦτα περὶ αὐτέων τάπερ δὴ ἔλεγον.

55. Ταῦτα μέν νυν τῶν ἐν Θήβῃσι ἱρέων ἤκουον. τάδε δὲ Δωδωναίων Φασὶ αἱ προμάντιες, δύο πελειάδας μελαίνας ἐκ Θηβέων τῶν Αἰγυπτιέων ἀναπταμένας, τὴν μὲν αὐτέων ἐς Λιβύην, τὴν δὲ παρὰ σφέας ἀπικέσθαι. ἱζομένην δέ μιν ἐπὶ φηγὸν, αὐδάξασθαι φωνῇ ἀνθρωπηίῃ, ὡς χρεὼν εἴη μαντήιον αὐτόθι Διὸς γενέσθαι. καὶ αὐτοὺς ὑπολαβεῖν θεῖον εἶναι τὸ ἐπαγγελλόμενον αὐτοῖσι, καὶ σφεας ἐκ τούτου ποιῆσαι. τὴν δὲ ἐς τοὺς Λίβυας οἰχομένην πελειάδα, λέγεσι Ἄμμωνος χρηστήριον κελεῦσαι τοὺς Λίβυας ποιέειν· ἔστι δὲ καὶ τοῦτο Διός. Δωδωναίων δὲ αἱ ἱρήιαι, τῶν τῇ πρεσβυτάτῃ οὔνομα ἦν Προμένεια, τῇ δὲ μετὰ αὐτὴν, Τιμαρέτῃ, τῇ δὲ νεωτάτῃ, Νικάνδρῃ, ἔλεγον ταῦτα. συνωμολόγεον δέ σφι καὶ οἱ ἄλλοι Δωδωναῖοι οἱ περὶ τὸ ἱρόν.

56. Ἐγὼ δ' ἔχω περὶ αὐτέων γνώμην τήνδε· εἰ ἀληθέως οἱ Φοίνικες ἐξήγαγον τὰς ἱερὰς

извѣстно, продана была въ Ливію, другая въ Элладу. Сіи женщины первыя ввели прорицалища у выше сказанныхъ народовъ.“ На вопросъ же мой, откуда они знаютъ это такъ утвердительно, они отвѣчали: „великое старание ими приложено было къ отысканію сихъ женщинъ, но невозможно было ихъ найти; потомъ стало о нихъ извѣстно то, что они мнѣ сказали.“

LV. Сіе слышалъ я отъ жрецовъ Ѳивскихъ; Додонскія же прорицательницы говорятъ, что „изъ Ѳивъ Египетскихъ улетѣли двѣ черныя голубки Пеліады, изъ коихъ одна полетѣла въ Ливію, другая прилетѣла къ нимъ. Послѣдняя, сидя на букѣ, говоря человѣческимъ языкомъ, сказала, что намъ надобно учредить Зевсово прорицалище. Додоняне, почитая то божескимъ повелѣніемъ, немедленно исполнили оное. Голубка же, улетѣвшая въ Ливію, говорятъ онѣ, велѣла Ливійцамъ учредить прорицалище Аммоново.“ Но и сіе прорицалище есть Зевесово. Это сказали мнѣ жрицы, изъ коихъ старшей имя Променея; средней, Тимарета; а младшей, Никандра. Одно и то же утверждали и другіе Додоняне, служащіе при храмѣ.

LVI. Я же объ нихъ слѣдующаго мнѣнія. Если подлинно Финикіяне увели жрицъ, и

γυναῖκας, καὶ τὴν μὲν αὐτέων ἐς Λιβύην, τὴν δὲ ἐς τὴν Ἑλλάδα ἀπέδοντο, δοκέει ἐμοὶ ἡ γυνὴ αὕτη τῆς νῦν Ἑλλάδος, πρότερον δὲ Πελασγίης καλευμένης τῆς αὐτῆς ταύτης, περιθῆναι ἐς Θεσπρωτούς. ἔπειτα δεηλεύσασα αὐτόθι, ἱδρύσασθαι ὑπὸ φηγῷ πεφυκυίῃ Διὸς ἱρόν· ὥσπερ ἦν οἰκὸς, ἀμφιπολεύσασαν ἐν Θήβῃσι ἱρὸν Διὸς, ἔνθα ἀπίκετο, ἐνθαῦτα μνήμην αὐτοῦ ἔχειν. ἐκ δὲ τούτου, χρηστήριον κατηγήσατο, ἐπεί τε συνέλαβε τὴν Ἑλλάδα γλῶσσαν· φάναι δὲ οἱ ἀδελφεὴν ἐν Λιβύῃ πεπρῆσθαι ὑπὸ τῶν αὐτῶν Φοινίκων, ὑπ' ὧν καὶ αὐτὴ ἐπρήθη.

57. Πελειάδες δέ μοι δοκέουσι κληθῆναι πρὸς Δωδωναίων ἐπὶ τοῦδε αἱ γυναῖκες, διότι βάρβαροι ἦσαν· ἐδόκεον δέ σφι ὁμοῖα ὄρνισι φθέγγεσθαι. μετὰ δὲ χρόνον τὴν πελειάδα ἀνθρωπηίῃ φωνῇ αὐδάξασθαι λέγουσι, ἐπεί τε συνετά σφι ἤυδα ἡ γυνή. ἔως δὲ ἐβαρβάριζε, ἐδόκεε σφι ὄρνιθος τρόπον φθέγγεσθαι· ἐπεὶ τέῳ τρόπῳ ἂν

одну изъ нихъ продали въ Ливію, другую въ Элладу: то послѣдняя продана была Θеспротянамъ въ страну, тогда называвшуюся Пеласгіею, а нынѣ Эллладою. Сдѣлавшись такимъ образомъ невольницею, она построила подъ букомъ божницу Зевесу, желая, какъ то и естествено думать о женщинѣ, служившей въ Θивахъ при храмѣ Зевса, — сохранить въ чуждой странѣ память о томъ, чѣмъ она была въ своей отчизнѣ; потомъ, научась Эллинскому языку, устроила прорицалище. Вѣроятно, сказала она, что сестра ея продана въ Ливію тѣми же Финикіянами, которые продали и ее.

LVII. Пеладами названы женщины сіи отъ Додонянъ, кажется мнѣ, потому, что онѣ были иноземки; имъ казалось, что онѣ говорятъ подобно птицамъ. Спустя же нѣсколько времени, сказываютъ, Пеліада говорила языкомъ человѣческимъ; потому что начала говорить для нихъ понятно; а пока говорила иностраннымъ языкомъ, имъ казалось, что она говоритъ по-птичьи. Ибо какъ голубка могла бы говорить языкомъ человѣческимъ? Говоря же, что голубка была черная, симъ означаютъ, что женщина сія была Египтянка. Поелику же способъ прорицанія въ Додонѣ сходенъ съ наблюдаемымъ въ Египет-

πελειάς γε ἀνθρωπηΐῃ φωνῇ φθέγξαιτο; μέλαιναν δὲ λέγοντες εἶναι τὴν πελειάδα, σήμαίνεσι ὅτι Αἰγυπτίη ἡ γυνὴ ἦν. Ἡ δὲ μαντηΐη ἥ τε ἐν Θήβῃσι τῇσι Αἰγυπτίῃσι καὶ ἐν Δωδώνῃ, παραπλήσιαι ἀλλήλῃσι τυγχάνεσι ἐοῦσαι. ἔστι δὲ καὶ τῶν ἱρῶν ἡ μαντικὴ ἀπ' Αἰγύπτου ἀπιγμένη.

58. Πανηγύρις δὲ ἄρα καὶ πομπὰς καὶ προσαγωγὰς πρῶτοι ἀνθρώπων Αἰγύπτιοί εἰσι οἱ ποιησάμενοι· καὶ παρὰ τούτων Ἕλληνες μεμαθήκασι. τεκμήριον δέ μοι τούτου, τόδε. αἱ μὲν γὰρ φαίνονται ἐκ πολλοῦ του χρόνου ποιεύμεναι· αἱ δὲ Ἑλληνικαὶ νεωστὶ ἐποιήθησαν.

59. Πανηγυρίζουσι δὲ Αἰγύπτιοι οὐκ ἅπαξ τοῦ ἐνιαυτοῦ, πανηγύρις δὲ συχνάς. μάλιστα μὲν καὶ προθυμότατα ἐς Βούβαστιν πόλιν, τῇ Ἀρτέμιδι· δεύτερα ἐς Βουσίριν πόλιν τῇ Ἴσι· ἐν ταύτῃ γὰρ δὴ τῇ πόλι ἐστὶ μέγιστον Ἴσιος ἱρόν. ἵδρυται δὲ ἡ πόλις αὕτη τῆς Αἰγύπτου ἐν μέσῳ τῷ Δέλτα. Ἴσις δέ ἐστι κατὰ τὴν Ἑλλήνων γλῶσσαν Δημήτηρ. τρίτα δ' ἐς Σάϊν πόλιν τῇ Ἀθηναίῃ πανηγυρίζουσι· τέταρτα δὲ, ἐς Ἡλιούπολιν τῷ Ἡλίῳ· πέμπτα δὲ, ἐς Βουτοῦν πόλιν τῇ Λητοῖ· ἕκτα δὲ, ἐς Πάπρημιν πόλιν τῷ Ἄρεϊ.

60. Ἐς μέν νυν Βούβαστιν πόλιν ἐπεὰν κομίζωνται, ποιεῦσι τοιάδε. πλέοσί τε γὰρ δὴ ἅμα ἄνδρες γυναιξί, καὶ πολλόν τι πλῆθος ἑκατέρων

скихъ Θивахъ; то сіе еще больше подтверждаетъ, что и прорицанія, издаваемыя во храмахъ, перешли туда изъ Египта.

LVIII. Египтяне также первые изъ народовъ учредили гулянья, торжественные ходы и поклоненія; а отъ нихъ Эллины переняли оныя. Доказательствомъ сего служитъ то, что у Египтянъ сіи обряды совершаются съ давняго времени, а у Эллиновъ введены недавно.

LIX. Совершаютъ торжество Египтяне не одинъ разъ въ годъ, но чаще. Всѣхъ же усерднѣе празднуютъ они торжество въ городѣ Вувастисѣ въ честь Артемидѣ; потомъ въ Бусиридѣ въ честь Изидѣ: ибо въ семъ городѣ находится огромнѣйшій храмъ Изиды. Городъ сей стоитъ посреди Дельты Египетской. Изида на Эллинскомъ языкѣ называется Димитрою. Третіе торжество совершаютъ въ городѣ Саисѣ Аѳинѣ; четвертое въ Иліополѣ Солнцу; пятое въ городѣ Вутунѣ Латонѣ; а шестое въ Папримисѣ Арею.

LX. Въ городѣ Вувастисѣ торжество отправляется слѣдующимъ образомъ. Мущины вмѣстѣ съ женщинами въ великомъ множествѣ разъѣзжаютъ на суднахъ по рѣкѣ. Нѣсколько женщинъ бьютъ въ бубны, а мущины играютъ на свирѣляхъ въ продолженіе

ἐν ἑκάστῃ βάρι. αἱ μέν τινες τῶν γυναικῶν κρόταλα ἔχουσαι, κροταλίζουσι· οἱ δὲ αὐλέουσι κατὰ πάντα τὸν πλόον· αἱ δὲ λοιπαὶ γυναῖκες καὶ ἄνδρες αἰείδουσι, καὶ τὰς χεῖρας κροτέουσι. ἐπεὰν δὲ πλέοντες κατά τινα πόλιν ἄλλην γένωνται, ἐγχρίμψαντες τὴν βάριν τῇ γῇ, ποιεῦσι τοιάδε· αἱ μέν τινες τῶν γυναικῶν ποιεῦσι τάπερ εἴρηκα· αἱ δὲ τωθάζουσι, βοῶσαι, τὰς ἐν τῇ πόλει ταύτῃ γυναῖκας· αἱ δ' ὀρχέονται· αἱ δ' ἀνασύρονται ἀνισάμεναι. ταῦτα παρὰ πᾶσαν πόλιν παραποταμίην ποιεῦσι. ἐπεὰν δὲ ἀπίκωνται ἐς τὴν Βούβαστιν, ὀρτάζουσι, μεγάλας ἀνάγοντες θυσίας· καὶ οἶνος ἀμπέλινος ἀναισιμοῦται πλέον ἐν τῇ ὀρτῇ ταύτῃ ἢ ἐν τῷ ἅπαντι ἐνιαυτῷ τῷ ἐπιλοίπῳ. συμφοιτέωσι δὲ ὅ, τι ἀνὴρ καὶ γυνή ἐσι, πλὴν παιδίων, καὶ ἐς ἑβδομήκοντα μυριάδας, ὡς οἱ ἐπιχώριοι λέγουσι. ταῦτα μὲν δὴ ταύτῃ ποιέεται.

61. Ἐν δὲ Βουσίρι πόλι ὡς ἀνάγουσι τῇ Ἴσι τὴν ὀρτήν, εἴρηται πρότερόν μοι. τύπτονται μὲν γὰρ δὴ μετὰ τὴν θυσίην πάντες καὶ πᾶσαι, μυριάδες κάρτα πολλαὶ ἀνθρώπων. τὸν δὲ τύπτονται, οὔ μοι ὅσιόν ἐσι λέγειν. ὅσοι δὲ Καρῶν εἰσὶ ἐν Αἰγύπτῳ οἰκέοντες, οὗτοι δὲ τοσούτῳ ἔτι πλέω ποιεῦσι τούτων, ὅσῳ καὶ τὰ μέτωπα

всего плаванія; прочія женщины и мущины поютъ и бьютъ въ ладоши. Поравнявшись во время плаванія съ другимъ какимъ городомъ, пристаютъ къ берегу, и однѣ изъ женщинъ продолжаютъ дѣлать то, что выше мною сказано; другія кричатъ, и издѣваются надъ женщинами того города; иныя пляшутъ; другія же вставши отряхиваютъ платье. Это дѣлаютъ при каждомъ городѣ, лежащемъ вдоль по рѣкѣ. По возвращеніи въ Вувасписъ, празднуютъ, принося великія жертвы; и въ сей праздникъ издерживается виноградная вина болѣе, нежели во все прочее время года. На сіе празднество стекается мущинъ и женщинъ, какъ увѣряютъ тамошніе жители, до семи сотъ тысячъ, кромѣ дѣтей малолѣтныхъ.

LXI. Какимъ образомъ совершается празднество Изидѣ въ городѣ Вусиридѣ, я сказалъ уже выше. Всѣ мущины и женщины, кои стекаются на празднество премногими тысячами, по принесеніи жертвы, бьютъ себя сами; но для кого они бьютъ себя, сказать мнѣ непозволительно. Карійцы же, живущіе въ Египтѣ, еще большими знаками обнаруживаютъ свою печаль, доходя даже до того, что ножами рѣжутъ себѣ лбы; чѣмъ

κόπτονται μαχαίρησι· καὶ τούτῳ εἰσὶ δῆλοι ὅτι εἰσὶ ξεῖνοι καὶ οὐκ Αἰγύπτιοι.

φέντων βασιλέων δύναϭθαι ὑπερβαλέϭθαι, ἐδ' ἐγγὺς ἀλθᾶν. βϐλόμενον δὲ αὐτὸν ἐν ἀϭφαλῄῃ τὰ χρήματα θησαυρίζειν, οἰκοδομέεϭθαι οἴκημα λίθινον· τῷ τῶν τοίχων ἕνα ἐς τὸ ἔξω μέρος τῆς οἰκίης ἔχειν· τὸν δὲ ἐργαζόμενον ἐπιβϐλεύοντα, τάδε μηχανᾶϭθαι· τῶν λίθων παρασχευάϭασθαι ἕνα ἐξαίρετον εἶναι ἐκ τῷ τοίχῳ ῥηϊδίως καὶ ὑπὸ δύο ἀνδρῶν καὶ ὑπ' ἑνός· ὡς δὲ ἐπετελέϭθη τὸ οἴκημα, τὸν μὲν βασιλῆα θησαυρίϭαι τὰ χρήματα ἐν αὐτῷ· χρόνῳ δὲ περιϊόντος· τὸν οἰκοδόμον περὶ τελευτὴν τῷ βίῳ ἐόντα, ἀναχαλέϭασθαι τοὺς παῖδας· (εἶναι γὰρ αὐτῷ δύο·) τέτοισι δὲ ἀπηγήϭασθαι· ὡς ἐκείνων, προορέων ὅκως βίον ἄφθονον ἔχωϭι· τεχνάϭαιτο οἰκοδομέων τὸν θησαυρὸν τοῦ βασιλῆος· ϭαφέως δ' αὐτοῖϭι πάντα ἐξηγηϭάμενον τὰ περὶ τὴν ἐξαίρεϭιν τῷ λίθῳ· δῶναι τὰ μέτρα αὐτῷ· λέγοντα ὡς ταῦτα διαφυλάϭϭοντες· ταμίαι τῶν βασιλῆος χρημάτων ἔϭονται· καὶ τὸν μὲν τελευτῆϭαι τὸν βίον· τοὺς δὲ παῖδας αὐτῷ ὑκ ἐς μακρὸν ἔργῳ ἔχεϭθαι· ἐπελθόντας δὲ ἐπὶ τὰ βασιλήια νυκτὸς· καὶ τὸν λίθον ἐπὶ τῷ οἰκοδομήματι ἀνευρόντας· ῥηϊδίως μεταθειρίϭαϭθαι· καὶ τῶν χρημάτων πολλὰ ἐξενείκαϭθαι·

изъ преемниковъ его никто не только превзойти его не могъ, но даже приблизиться къ нему. Для приведенія своего богатства въ безопасность, онъ повелѣлъ построить каменное зданіе. Одна стѣна сего зданія выдавалась наружу изъ двора. Строитель онаго, вознамѣрясь воспользоваться сокровищемъ, одинъ камень положилъ такъ, что двумя и даже однимъ человѣкомъ легко могъ быть вынутъ. По окончаніи зданія, Царь положилъ въ немъ свое богатство. По прошествіи нѣкотораго времени, домостроитель, находясь при концѣ жизни, призвалъ къ себѣ сыновей своихъ, коихъ у него было два, и объявилъ имъ, что, при строеніи царскаго казнохранилища, употребилъ онъ хитрость, дабы доставить имъ богатое состояніе, объяснилъ имъ подробно, какъ изъ стѣны вынуть камень и показалъ имъ величину онаго, сказавъ, что если они объявленное имъ сохранятъ въ тайнѣ, то могутъ по своему произволенію располагать царскимъ сокровищемъ. Послѣ сего онъ умеръ, и дѣти не замедлили приступить къ дѣлу: пришедши ночью къ царскимъ чертогамъ, опыскали въ зданіи камень, легко вынули его и унесли множество денегъ:

2. Ὡς δὲ τυχεῖν τὸν βασιλῆα ἀνοίξαντα τὸ οἴκημα; θωϋμάσαι; ἰδόντα τῶν χρημάτων καταδεᾶ τὰ ἀγγήϊα· ὐκ ἔχειν δὲ ὅν τινα ἐπαιτιᾶται; τῶν τε σημάντρων ἐόντων σώων; καὶ τῷ οἰκήματος κεκλειμένῳ· ὡς δὲ αὐτῷ καὶ δὶς καὶ τρὶς ἀνοίξαντι; ἀεὶ ἐλάσσω φαίνεσθαι τὰ χρήματα; (τοὺς γὰρ κλέπτας ὐκ ἀνιέναι κεραΐζοντας); ποιῆσαί μιν τάδε· πάγας προστάξαι ἐργάσασθαι; καὶ ταύτας περὶ τὰ ἀγγήϊα ἐν τοῖσι τὰ χρήματα ἐνῆν; σῆσαι· τῶν δὲ φωρῶν ὥσπερ ἐν τῷ προτῷ χρόνῳ ἐλθόντων; καὶ ἐνδύντος τῷ ἑτέρῳ αὐτῶν; ἐπεὶ πρὸς τὰ ἄγγος προσῆλθε; ἰθέως τῇ πάγῃ ἐνέχεσθαι· ὡς δὲ γνῶναι αὐτὸν ἐν οἵῳ κακῷ ἦν; ἰθέως καλέειν τὸν ἀδελφεὸν; καὶ δηλῶν αὐτῷ τὰ παρεόντα; καὶ κελεύειν τὴν ταχίστην ἐσδύντα; ἀποτάμνειν αὐτῷ τὴν κεφαλήν· ὅκως μὴ αὐτὸς ὀφθεὶς καὶ γνωρισθεὶς ὅς εἴη; προσαπολέσει καὶ ἐκεῖνον· τῷ δὲ δόξαι εὖ λέγειν; καὶ ποιῆσαί μιν πεισθέντα ταῦτα· καὶ καταρμόσαντα τὸν λίθον; ἀπιέναι ἐπ' οἴκου; φέροντα τὴν κεφαλὴν τῷ ἀδελφεῷ;

3. Ὡς δὲ ἡμέρη ἐγένετο, ἐσελθόντα τὸν βασιλῆα ἐς τὸ οἴκημα, ἐκπεπλῆχθαι, ὁρέοντα τὰ σῶμα τοῦ φωρὸς ἐν τῇ πάγῃ ἄνευ τῆς κεφαλῆς

CXXI. (2). Однажды случилось царю отворить сокровищницу. Онъ съ удивленіемъ увидѣлъ, что въ сосудахъ денегъ убавилось, и не зналъ, кого въ томъ винить, потому что печати на дверяхъ были цѣлы и зданіе замкнуто. Когдаже сходилъ туда въ другой и въ третій разъ и увидѣлъ, что деньги все убавляются болѣе (ибо воры не переставали ихъ выкрадывать); то вздумалъ прибѣгнуть къ слѣдующему средству: велѣлъ сдѣлать сѣти, и поставить ихъ около сосудовъ, въ коихъ лежали деньги. Воры пришли по прежнему, и одинъ изъ нихъ, влѣзши въ зданіе, лишь только подошелъ къ сосуду, немедленно попался въ сѣть. Видя, въ какой онъ находится бѣдѣ, тотчасъ позвалъ брата, сказалъ, что случилось съ нимъ и велѣлъ, чтобы какъ можно скорѣе влѣзъ и отрубилъ ему голову, дабы, когда увидятъ его и узнаютъ, не погубить и самаго его. Совѣтъ сей брату понравился; по чему онъ и исполнилъ его. Потомъ опять приложивши камень, съ головою брата пошелъ домой.

CXXI. (3). Лишь только насталъ день, Царь пошелъ въ казнохранилище и изумился, увидѣвши въ сѣти тѣло вора безъ головы, а зданіе непронутымъ; не было въ немъ ника-

ἐόν· τὸ δὲ οἴκημα ἀσινές, καὶ ὅτε ἔξοδον ὅτε ἔκδυσιν ὐδεμίην ἔχον· ἀπορεύμενον δέ μιν, τάδε ποιῆσαι· τῷ Φωρὸς τὸν νέκυν κατὰ τῷ τείχεος καταχρεμάσαι· Φυλάκως δὲ αὐτῷ κατασήσαντα, ἐντείλασθαι σφισι, τὸν ἂν ἰδωνται ἀποκλαύσαντα, ἢ καιοικτισάμενον, συλλαβόντας ἄγειν πρὸς ἑωυτόν. ἀναχρεμαμένῳ δὲ τῷ νέκυος, τὴν μητέρα δεινῶς Φέρειν· λόγως δὲ πρὸς τὸν περιεόντα παῖδα ποιευμένην, προστάσσειν αὐτῷ, ὅτεῳ τρόπῳ δύναται, μηχανᾶσθαι, ὅκως τὸ σῶμα τῷ ἀδελφεῷ καταλύσας κομιεῖ· τὸν δὲ τούτων ἀμελήσει, διαπειλέειν αὐτὴν, ὡς ἐλθοῦσα πρὸς τὸν βασιλῆα, μηνύσει αὐτὸν ἔχοντα τὰ χρήματα.

4. Ὡς δὲ χαλεπῶς ἐλαμβάνετο ἡ μήτηρ τῷ περιεόντος παιδὸς, καὶ πολλὰ πρὸς αὐτὴν λέγων ὐκ ἔπειθε, ἐπιτεχνήσασθαι τοιάδε μιν· ὄνως κατασκευασάμενον, καὶ ἀσκως πλήσαντα οἴνῳ, ἐπιθεῖναι ἐπὶ τῶν ὄνων, καὶ ἔπειτα ἐλαύνειν αὐτούς. ὡς δὲ κατὰ τοὺς Φυλάσσοντας ἦν τὸν χρεμάμενον, νέκυν, ἐπισπάσαντα τῶν ἀσκῶν δύο ἢ τρεῖς ποδεῶνας αὐτὸν λύειν ἀπαμμένως· ὡς δὲ ἔῤῥεε ὁ οἶνος, τὴν κεφαλὴν μιν κόπτεσθαι μεγάλα βοῶντα, ὡς ὐκ ἔχοντα πρὸς ὁκοῖον τῶν ὄνων πρῶτον τράπηται· τοὺς δὲ Φυλάκως, ὡς ἰδεῖν

каго ни входа ни выхода. Находясь въ недоумѣніи, онъ велѣлъ трупъ вора повѣсить на стѣнѣ, и, приставивъ къ нему стражей, приказалъ имъ, чтобы, если увидятъ кого оплакивающимъ его или сострадающимъ о немъ, таковаго схватили и привели бы къ нему. Между тѣмъ мать не могла переносить горести, узнавъ, что тѣло сына ея повѣшено, и переговоривъ съ оставшимся въ живыхъ, приказала ему, чтобы онъ какимъ бы то ни было образомъ, отвязалъ тѣло брата и принесъ къ ней. Если же онъ того не сдѣлаетъ, грозила, что пойдетъ къ Царю и донесетъ, что у него деньги Царевы.

CXXI. (4). Оставшійся сынъ, бывъ весьма дурно принятъ матерью и не могши никакъ уговорить ее, рѣшился попытаться ее удовольствовать. Онъ взялъ нѣсколько ословъ и, наполнивъ мѣхи виномъ, навьючилъ на ословъ и погналъ ихъ. Подъѣхавши близко къ стражамъ повѣшеннаго трупа, онъ проворно отопкнулъ двѣ или три затычки у мѣховъ, и когда вино потекло, началъ бить себя въ голову и кричать изо всѣхъ силъ, какъ бы незная, къ которому изъ ословъ прежде обратиться. Стражи, увидѣвши много текущаго вина, сбѣжались на дорогу, съ сосудами въ рукахъ, и собирали вино, чтобъ обратить

πολὺν ᾠέοντα τὸν οἶνον, συντρέχειν ἐς τὴν ὁδόν, ἀγγήϊα ἔχοντας, καὶ τὸν ἐκκεχυμένον οἶνον συγχομίζειν, ἐν κέρδεϊ ποιευμένυς. τὸν δὲ διαλοιδορέεσθαι πᾶσι, ὀργὴν προσποειύμενον· παραμυθευμένων δὲ αὐτὸν τῶν Φυλάκων, χρόνῳ πρηύνεσθαι προσποιέεσθαι, καὶ ὑπίεσθαι τῆς ὀργῆς· τέλος δὲ, ἐξελάσαι αὐτὸν τὺς ὄνυς ἐκ τῆς ὁδῦ, καὶ κατασκευάζειν. ὡς δὲ λόγυς τε πλείυς ἐγγίνεσθαι. καὶ τινα καὶ σκῶψαί μιν καὶ ἐς γέλωτα προαγαγέσθαι, ἐπιδῦναι αὐτοῖσι τῶν ἀσκῶν ἕνα· τὺς δὲ αὐτῦ, ὅσπερ εἶχον, καταχλιθέντας πίνειν διανοέεσθαι, καὶ ἐκεῖνον παραλαμβάνειν, καὶ κελεύειν μετ' ἐωυτῶν μείναντα συμπίνειν· τὸν δὲ πεισθῆναί τε δὴ, καὶ καταμεῖναι. ὡς δέ μιν παρὰ τὴν πόσιν φιλοφρόνως ᾐσπάζοντο, ἐπιδῦναι αὐτοῖσι καὶ ἄλλον τῶν ἀσκῶν· δαψιλέϊ δὲ τῷ ποτῷ χρησαμένυς τὺς Φυλάκυς, ὑπερμεθυσθῆναι· καὶ κρατηθέντας ὑπὸ δῦ ὕπνυ, αὐτῦ ἐνθάπερ ἔπινον καταχοιμηθῆναι· τὸν δὲ, ὡς πρόσω ἦν τῆς νυκτὸς, τό, τε σῶμα τῦ ἀδελφεῦ καταλῦσαι, καὶ τῶν Φυλάκων ἐπὶ λύμῃ πάντων ξυρῆσαι τὰς δεξιὰς παρηίδας· ἐπιθέντα δὲ τὸν νέκυν ἐπὶ τὺς ὄνυς, ἀπελαύνειν ἐπ' οἴκυ, ἐπιτελέσαντα τῇ μητρὶ τὰ προσταχθέντα.

5. Τὸν δὲ βασιλέα, ὡς αὐτῷ ἀπηγγέλθη τῦ Φωρὸς ὁ νέκυς ἐκκεκλεμμένος, δεινὰ ποιέειν· πάντως δὲ βυλόμενον εὑρεθῆναι ὅστις κοτὲ εἴη

его въ свою пользу. Между тѣмъ хитрецъ, притворясь, будьто сильно сердится, бранилъ ихъ. Стражи утѣшали его и онъ притворился, будьто мало по малу дѣлается спокойнѣе и переспаетъ сердиться; наконецъ, своротилъословъ съ дороги и оправилъ на нихъ ношу. Когда они поговорили между собою побольше и одинъ изъ нихъ шутками своими привелъ сего чловѣка даже къ смѣху; то онъ подарилъ имъ одинъ мѣшокъ вина. Стражи тотчасъ расположились пить, взяли его за руку, и стали уговаривать, чтобъ и онъ остался пить съ ними. Онъ согласился; и какъ между питьемъ завелась у нихъ дружба и пошли цѣлованья: то онъ подарилъ имъ и другой мѣшокъ. Стражи, пользуясь изобиліемъ вина, такъ напились, что сонъ одолѣлъ ихъ и они уснули на томъ же мѣстѣ, гдѣ пили. Когда уже настала глубокая ночь, хитрецъ не только отвязалъ тѣло брата, но и, желая подшутить надъ стражами, выбрилъ у нихъ правыя щеки; потомъ, взваливъ трупъ на осла, погналъ домой, исполнивъ приказаніе матери.

121 (5). Когда донесли Царю, что трупъ вора украденъ, онъ чрезмѣрно прогнѣвался, и желая непремѣнно отыскать, кто бы такой осмѣлился это сдѣлать, принялъ средство,

ὁ ταῦτα μηχανώμενος, ποιῆσαί μιν τάδε, ἐμοὶ μὲν ἀ πισά· τὴν θυγατέρα τὴν ἑωυτῦ κατίσαι ἐπ' οἰκήματος, ἐντειλάμενον πάντας τε ὁμοίως προσδέχεσθαι, καὶ πρὶν συγγενέσθαι, ἀναγκάζειν λέγειν αὐτῇ ὅ, τι δὴ ἐν τῷ βίῳ ἔργασαι αὐτῷ σοφώτατον καὶ ἀνοσιώτατον· ὅς δ' ἂν ἀπηγήσηται τὰ περὶ τὸν Φῶρα γεγενημένα, τοῦτον συλλαμβάνειν, καὶ μὴ ἀπιέναι ἔξω. ὡς δὲ τὴν παῖδα ποιέειν τὰ ἐκ τοῦ πατρὸς προσταχθέντα, τὸν Φῶρα πυθόμενον τῶν εἵνεκα ταῦτα ἐπρήσσετο, βουληθέντα πολυτροπίῃ τοῦ βασιλῆος περιγενέσθαι, ποιέειν τάδε· νεκρῷ προσφάτῳ ἀποταμόντα ἐν τῷ ὤμῳ τὴν χεῖρα, ἰέναι αὐτὸν ἔχοντα αὐτὴν ὑπὸ τῷ ἱματίῳ· ἐσελθόντα δὲ οὓς τοῦ βασιλῆος τὴν θυγατέρα, καὶ εἰρωτώμενον τἄπερ καὶ οἱ ἄλλοι, ἀπηγήσασθαι ὡς ἀνοσιώτατον μὲν εἴη ἐργασμένος, ὅτε τοῦ ἀδελφεοῦ ἐν τῷ θησαυρῷ τοῦ βασιλῆος ὑπὸ πάγης ἁλόντος ἀποτάμοι τὴν κεφαλήν· σοφώτατον δὲ, ὅτι τοὺς φυλάκους καταμεθύσας, καταλύσειε τοῦ ἀδελφεοῦ κρεμαμένου τὸν νέκυν. τὴν δὲ, ὡς ἤκουσε, ἅπτεσθαι αὐτοῦ, τὸν δὲ Φῶρα ἐν τῷ σκότει προτεῖναι αὐτῇ τοῦ νεκροῦ τὴν χεῖρα· τὴν δὲ, ἐπιλαβομένην ἔχειν, νομίζουσαν αὐτοῦ ἐκείνου τῆς χειρὸς ἀντέχεσθαι· τὸν δὲ Φῶρα προέμενον αὐτῇ, οἴχεσθαι διὰ θυρέων φεύγοντα.

6. Ὡς δὲ καὶ ταῦτα ἐς τὸν βασιλέα ἀνεκείχθη, ἐκπεπλῆχθαι μὲν ἐπὶ τῇ πολυφροσύνῃ

для меня невѣроятное. Велѣлъ дочери своей сѣсть въ непотребный домъ, наказавъ ей; принимать всѣхъ равно, и, прежде совокупленія, принуждать каждаго сказывать ей, что такое въ жизни своей сдѣлалъ онъ хитрѣйшаго и что беззаконнѣйшаго. Когда же кто сознается въ томъ, что сдѣлано съ воромъ, его удержать и не выпускать вонъ. Дочь исполнила повелѣніе отцово; но воръ, догадавшись, для чего это дѣлается, и желая Царя перехитрить, отрѣзалъ у недавно умершаго руку по плечо, спряталъ подъ платье и пошелъ съ нею къ Царевой дочери. Будучи спрошенъ ею, какъ и прочіе, онъ отвѣчалъ, что онъ сдѣлалъ величайшее преступленіе, отрубивши въ царской сокровищницѣ голову брату своему, попавшемуся въ сѣть; а умнѣйшее, отвязавъ повѣшенный трупъ брата, напоивши прежде стражу его. Услышавъ это, она схватила вора за руку; но онъ въ темнотѣ протянулъ къ ней руку мертвеца, которую получивъ, думала, что держитъ руку его; между тѣмъ воръ вышелъ изъ двери и убѣжалъ.

CXXI (6). Когда и объ этомъ случаѣ донесено было Царю, онъ изумился оборотливостію ума и дерзостію этого человѣка. На-

τε καὶ τόλμῃ τἀνθρώπε· τέλος δὲ, διαπέμποντα ἐς πάσας τὰς πόλις, ἐπαγγέλλεσθαι ἄδειάν τε διδόντα, καὶ μεγάλα ὑποδεχόμενον ἐλθόντι ἐς ὄψιν τὴν ἑωϋτε· τὸν δὲ Φῶρα, πισεύσαντα, ἐλθεῖν πρὸς αὐτόν· Ῥαμψίνιτον δὲ μεγάλως θωϋμάσαι, καὶ οἱ τὴν θυγατέρα ταύτην συνοικίσαι, ὡς πλεῖσα ἐπισαμένῳ ἀνθρώπων· Αἰγυπτίυς μὲν γὰρ τῶν ἄλλων προκεχρίσθαι, ἐκεῖνον δὲ, Αἰγυπτίων.

122. Μετὰ δὲ ταῦτα, ἔλεγον τῦτον τὸν βασιλῆα ζωὸν καταβῆναι κάτω ἐς τὸν οἱ Ἕλληνες ἀΐδην νομίζυσι εἶναι, κἀκεῖθι συγκυβεύειν τῇ Δήμητρι· καὶ τὰ μὲν, νικᾷν αὐτὴν, τὰ δὲ, ἐσσῦσθαι ὑπ' αὐτῆς· καί μιν πάλιν ἀπικέσθαι, δῶρον ἔχοντα παρ' αὐτῆς χειρόμακτρον χρύσεον. ἀπὸ δὲ τῆς Ῥαμψινίτυ καταβάσιος, ὡς πάλιν ἀπίκετο, ὁρτὴν δὴ ἀνάγειν Αἰγυπτίυς ἔφασαν· τὴν καὶ ἐγὼ οἶδα ἔτι καὶ ἐς ἐμὲ ἐπιτελέοντας αὐτύς· ὑ μέντοι εἴτε δι ἄλλό τι, εἴτε διὰ ταῦτα ὁρτάζυσι, ἔχω λέγειν. Φᾶρος δὲ αὐτημερὸν ἐξυφήναντες οἱ ἱρέες, κατ' ὧν ἔδησαν ἑνὸς αὐτῶν μίτρῃ τὺς ὀφθαλμύς· ἀγαγόντες δέ μιν ἔχοντα τὸ Φᾶρος ἐς ὁδὸν φέρυσαν ἐς ἱρὸν Δήμητρος,

конецъ, Царь разослалъ по всѣмъ городамъ съ объявленіемъ, что онъ прощаетъ вору и назначаетъ великую награду, если сей къ нему явится. Воръ, полагаясь на слово Царя, явился къ нему. Рампсинитъ весьма удивлялся ему и выдалъ за него, какъ за умнѣйшаго изъ людей, сію самую дочь; поелику Египтяне почитались высшими всѣхъ народовъ, а этотъ человѣкъ показалъ себя высшимъ всѣхъ Египтянъ.

CXXII. Послѣ сего жрецы сказывали мнѣ, что сей Государь нисходилъ живой въ то мѣсто, которое Эллины почитаютъ адомъ, и тамъ съ Димитрою игралъ въ зернь, и то онъ побѣждалъ ее, то она его. Потомъ возвратился оттуда; получивши отъ нея въ даръ золотой утиральникъ. Съ сего нисшествія Рампсинитова во адъ, по возвращеніи его, Египтяне учредили празднество, которое и въ мое время еще у нихъ отправлялось: но для сего ли оно празднуется или для другой причины, того утвердить не могу. Жрецы ,сотканвши въ тотъ же день мантію, одѣваютъ въ оную одного изъ среды своей, завязавъ ему глаза, и выводятъ его на дорогу, ведущую ко храму Димитры; потомъ сами уходятъ назадъ. Жреца съ завязанными

αὐτοὶ ἀπαλλάσσονται ὀπίσω· τὸν δ' ἱρέα τεῦτον καταδεδεμένον τὼς ὀφθαλμούς, λέγεσι ὑπὸ δύο λύκων ἄγεσθαι ἐς τὸ ἱρὸν τῆς Δήμητρος; ἀπέχον τῆς πόλιος ἐείκοσι σαδίας· καὶ αὖτις ὀπίσω ἐκ τοῦ ἱροῦ ἀπάγειν μιν τοὺς λύκους ἐς τωὐτὸ χωρίον.

123. Τοῖσι μέν νυν ὑπ' Αἰγυπτίων λεγομένοισι χράσθω ὅτεῳ τὰ τοιαῦτα πιθανά ἐστι· ἐμοὶ δὲ παρὰ πάντα τὸν λόγον ὑπόκειται, ὅτι τὰ λεγόμενα ὑπ' ἑκάστων ἀκοῇ γράφω. ἀρχηγετεύειν δὲ τῶν κάτω Αἰγύπτιοι λέγουσι Δήμητρα καὶ Διόνυσον. πρῶτοι δὲ καὶ τόνδε τὸν λόγον Αἰγύπτιοί εἰσι οἱ εἰπόντες, ὡς ἀνθρώπου ψυχὴ ἀθάνατός ἐστι· τοῦ σώματος δὲ καταφθίνοντος, ἐς ἄλλο ζῶον αἰεὶ γινόμενον ἐσδύεται· ἐπεὰν δὲ περιέλθῃ πάντα τὰ χερσαῖα καὶ τὰ θαλάσσια καὶ τὰ πετεινά, αὖτις ἐς ἀνθρώπου σῶμα γινόμενον ἐσδύνειν· τὴν περιήλυσιν δὲ αὐτῇ γίνεσθαι ἐν τρισχιλίοισι ἔτεσι. τούτῳ τῷ λόγῳ εἰσὶ οἳ Ἑλλήνων ἐχρήσαντο, οἱ μέν, πρότερον, οἱ δὲ, ὕστερον, ὡς ἰδίῳ ἑωυτῶν ἐόντι· τῶν ἐγὼ εἰδὼς τὰ οὐνόματα, οὐ γράφω.

124. Μέχρι μέν νυν Ῥαμψινίτου βασιλῆος εἶναι ἐν Αἰγύπτῳ πᾶσαν εὐνομίην ἔλεγον, καὶ

глазами везутъ два волка въ упомянутый храмъ, находящійся отъ города въ двадцати стадіяхъ, и тѣже волки опять отвозятъ его на прежнее мѣсто.

CXXIII. Впрочемъ кому какъ угодно, такъ и думай о вѣроятности повѣствованій Египтянъ; я же предположилъ себѣ въ продолженіе всей Исторіи описывать все, что услышу достопамятнаго. Египтяне сказываютъ, что въ преисподней первенствуютъ Димитра и Вакхъ. Египтяне также первые ввели ученіе, что душа человѣческая безсмертна. По разрушеніи же тѣла, она переходитъ въ другое животное, всегда готовое родиться; совершивъ странствіе чрезъ всѣхъ земныхъ, морскихъ и воздушныхъ животныхъ, паки входитъ въ человѣческое тѣло, которое на тотъ разъ родится; кругъ сего перехода совершается въ три тысячи лѣтъ. Сіе мнѣніе приняли потомъ нѣкоторые изъ Эллиновъ, одни прежде, другіе послѣ, выдавая оное какъ бы за свое открытіе. Именъ ихъ, хотя мнѣ извѣстныхъ, здѣсь не упоминаю.

CXXIV. До Рампсинита Египетъ былъ управляемъ мудрыми законами и находился въ цвѣтущемъ состояніи; послѣ же его, когда воцарился *Хеопсъ*, подвергнулся величайшему

εὐθηνέειν Αἴγυπτον μεγάλως· μετὰ δὲ τέτον, βασιλεύσαντά σφεων Χέοπα, ἐς πᾶσαν κακό-πητα ἐλάσαι· καταχλησίσαντα γάρ μιν πάντα τὰ ἱρὰ, πρῶτα μέν σφεας θυσιέων ἀπέρξαι, μετὰ δὲ, ἐργάζεσθαι ἑωυτῷ κελεύειν πάντας Αἰγυπτίους. τοῖσι μὲν δὴ ἀποδεδέχθαι, ἐκ τῶν λιθοτομιέων τῶν ἐν τῷ Ἀραβίῳ ὄρεϊ, ἐκ τεῦ τέων ἕλκειν λίθους μέχρι τεῦ Νείλου· διαπεραιωθέντας δὲ τὸν ποταμὸν πλοίοισι τοὺς λίθους ἑτέροισι ἔπαξε ἐκδέκεσθαι, καὶ πρὸς τὸ Λιβυκὸν καλεύμενον ὄρος, πρὸς τοῦτο ἕλκειν. ἐργάζοντο δὲ καὶ δέκα μυριάδας ἀνθρώπων αἰεὶ τὴν τρίμηνον ἑκάστην. χρόνον δὲ ἐγγενέσθαι τριβομένῳ τῷ λαῷ, δέκα μὲν ἔτεα τῆς ὁδοῦ κατὰ τὴν εἵλκον τοὺς λίθους, τὴν ἐδειμαν, ἔργον ἐὸν οὐ πολλῷ τέῳ ἔλασσον τῆς πυραμίδος, ὡς ἐμοὶ δοκέειν· (τῆς μὲν γὰρ μῆκός εἰσι πέντε σάδιοι· εὖρος δὲ, δέκα ὀργυιαί· ὕψος δὲ, τῇ ὑψηλοτάτη ἐστὶ αὐτὴ ἑωυτῆς, ὀκτὼ ὀργυιαί· λίθου τε ξεστοῦ καὶ ζῴων ἐγγεγλυμμένων·) ταύτης τε δὴ τὰ δέκα ἔτεα γενέσθαι, καὶ τῶν ὑπὸ τὴν οἰκημάτων, τὰς ἐποιέετο θήκας ἑωυτῷ ἐν νήσῳ, διώρυχα τοῦ Νείλου ἐσαγαγών. τῇ δὲ πυραμίδι αὐτῇ χρόνον γενέσθαι εἴκοσι ἔτεα ποιευμένῃ, τῆς ἐστὶ παντακῇ μέτωπον ἕκαστον ὀκτὼ

несчастію. Сей Государь, приказавъ запереть всѣ храмы, сперьва запретилъ Египтянамъ жертвоприношенія; потомъ повелѣлъ всѣмъ работать для него: однимъ назначено было изъ каменоломенъ въ Аравійской горѣ добывать камни и влечь ихъ до рѣки Нила; другимъ велѣно было принимать камни, перевезенные на судахъ черезъ рѣку и влечь ихъ къ горѣ Ливійской. Работы сіи производимы были стотысячами человѣкъ, черезъ каждые три мѣсяца перемѣнявшимися. Десять лѣтъ мучимъ былъ народъ для того только, чтобъ укрѣпить дорогу для влеченія камней; работа, не легче, какъ мнѣ кажется, строенія пирамидъ. Ибо длина сей дороги была пять стадій; ширина, сорокъ оргій; высота, самая большая, тридцать два лактя; она выстлана была тесанымъ камнемъ, и украшена вырѣзанными фигурами. На сію-то дорогу употреблено было десять лѣтъ работы, и вмѣстѣ для построенія на томъ холмѣ, гдѣ стоятъ пирамиды, подземельныхъ камеръ, которыя назначилъ онъ для своего гроба на островѣ, проведши внутрь каналъ изъ Нила. На построеніе же самой пирамиды употреблено двадцать лѣтъ. Видъ ея четвероугольный; каждый бокъ мѣрою былъ въ восемъ сотъ футовъ;

πλέθρα, ἐύσης τετραγώνυ, καὶ ὕψος ἴσον· λίθυ δὲ ξεσῦ τε καὶ ἁρμοσμένυ ταμάλισα· ὑδεὶς τῶν λίθων τριήκοντα ποδῶν ἑλάσσων.

125. Ἐποιήθη δὲ ὧδε αὕτη ἡ πυραμὶς ἀναβαθμῶν τρόπον, τὰς μετεξέτεροι κρώσσας, οἱ δὲ βωμίδας ὀνομάζυσι· τοιαύτην τοπρῶτον ἐπεὶ τε ἐποίησαν αὐτήν, ἤειρον τοὺς ἐπιλοίπυς λίθυς μηχανῆσι ξύλων βραχέων πεποιημένῃσι· χαμάθεν μὲν ἐπὶ τὸν πρῶτον σοῖχον τῶν ἀναβαθμῶν ἀείροντες· ὅκως δὲ ἀνέοι ὁ λίθος ἐπ' αὐτὸν, εἰς ἑτέρην μηχανὴν ἐνίθετο, ἑσεῶσαν ἐπὶ τῷ πρώτῳ σοίχῳ· ἀπὸ τύτυ δὲ ἐπὶ τὸν δεύτερον εἵλκετο σοῖχον, ἐπ' ἄλλης μηχανῆς· ὅσοι γὰρ δὴ σοῖχοι ἦσαν τῶν ἀναβαθμῶν, τοσαῦται καὶ μηχαναὶ ἦσαν· εἴτε καὶ τὴν αὐτὴν μηχανὴν ἐοῦσαν μίην τε καὶ εὐβάστακτον μετεφόρεον ἐπὶ σοῖχον ἕκαστον, ὅκως τὸν λίθον ἐξέλοιεν· λελέχθω ἡμῖν ἐπ' ἀμφότερα, καταπερ λέγεται. ἐξεποιήθη δ' ὧν τὰ ἀνώτατα αὐτῆς πρῶτα· μετὰ δὲ, τὰ ἐπόμενα τύτων ἐξεποίευν· τελευταῖα δὲ, αὐτῆς τὰ ἐπίγαια καὶ τὰ κατωτάτω ἐξεποίησαν. σεσήμανται δὲ διὰ γραμμάτων Αἰγυπτίων ἐν τῇ πυραμίδι, ὅσα ἔς τε συρμαίην καὶ χρόμμυα καὶ σκόροδα ἀναισιμώθη τοῖσι ἐργαζομένοισι· καὶ, ὡς ἐμὲ εὖ με-

высота такой же мѣры; камень полированный, и весьма тщательно склеенный; нѣтъ ниодного изъ камней менѣе тридцати футовъ.

CXXV. Сія пирамида сперва сдѣлана была на подобіе ступенекъ, которыя одни называютъ *зубцами*; другіе, *площадками*. По таковомъ выведеніи ее, поднимали вверьхъ прочіе камни машинами, сдѣланными изъ короткихъ брусьевъ; когда камень съ земли доходилъ къ первому ряду ступенекъ, его клали на другую машину, стоявшую на первомъ ряду ступенекъ; отъ сего ряда тянули его въ другой рядъ, по томъ опять отъ сего ряда въ третій, на другой машинѣ: ибо сколько было рядовъ ступенекъ, столько было и машинъ. Или употреблялась одна и таже машина, удобнопереносимая, которую передвигали съ одного ряда на другой, всякой разъ коль скоро надобно было поднимать камень вверьхъ; какъ мнѣ сказано то и другое, такъ я и говорю. Дѣло начато сперьва съ самой вершины; потомъ обкладывали слѣдующее затѣмъ; нижнюю и ближайшую къ землѣ часть окончили послѣ всего. На пирамидѣ записано Египетскими буквами, сколько издержано суммы для рабопниковъ на редьку, лукъ и чеснокъ; и, какъ я хорошо помню, перевод-

μνῆσθαι τὰ ὁ ἑρμηνεύς μοι, ἐπιλεγόμενος τὰ γράμματα, ἔφη, ἑξακόσια καὶ χίλια τάλαντα ἀργυρίῳ τετελέσθαι. εἰ δ' ἔστι ὅτῳ ἔχοντα ταῦτα, κόσα εἰκὸς ἄλλα δεδαπανῆσθαι ἐς τε σίδηρον τῷ ἐργάζοντο, καὶ σιτία καὶ ἐσθῆτα τοῖσι ἐργαζομένοισι; ὁκότε χρόνον μὲν οἰκοδόμεον τὰ ἔργα τὸν εἰρημένον· ἄλλων δὲ, ὡς ἐγὼ δοκέω, ἐν τῷ τοὺς λίθους ἔταμνον, καὶ ἄγον, καὶ τὸ ὑπὸ γῆν ὄρυγμα ἐργάζοντο, οὐκ ὀλίγον χρόνον.

126. Ἐς τοῦτο δὲ ἐλθεῖν Χέοπα κακότητος, ὥστε χρημάτων δεόμενον, τὴν θυγατέρα τὴν ἑωυτοῦ κατίσαντα ἐπ' οἰκήματος, προστάξαι πρήσσεσθαι ἀργύριον ὁκόσον δή τι· ἡ γὰρ δὴ τοῦτό γε ἔλεγον· τὴν δὲ, τά τε ὑπὸ τοῦ πατρὸς ταχθέντα πρήσσεσθαι· ἰδίῃ δὲ καὶ αὐτὴν διανοηθῆναι μνημήιον καταλιπέσθαι· καὶ τοῦ ἐκιόντος πρὸς αὐτὴν ἑκάστου δέεσθαι, ὅκως ἂν αὐτῇ ἕνα λίθον ἐν τοῖσι ἔργοισι δωρέοιτο. ἐκ τούτων δὲ τῶν λίθων ἔφασαν τὴν πυραμίδα οἰκοδομηθῆναι, τὴν ἐν μέσῳ τῶν τριῶν ἐσηκυῖαν, ἔμπροσθεν τῆς μεγάλης πυραμίδος· τῆς ἐστὶ τὸ κῶλον ἕκαστον, ὅλου καὶ ἡμίσεος πλέθρου.

127. Βασιλεῦσαι δὲ τὸν Χέοπα τοῦτον Αἰγύπτιοι ἔλεγον πεντήκοντα ἔτεα· τελευτήσαντος δὲ τούτου, ἐκδεξασθαι τὴν βασιληίην τὸν ἀδελ-

чикъ, читавшій сіи буквы, сказалъ мнѣ, что издержано тысяча шесть сотъ талантовъ серебра. Если это правда, то сколько, думать надобно, издержано было на желѣзо, которое употреблялось при работѣ, сколько на хлѣбъ, и на платье работниковъ? Когда столько времени, какъ мною сказано, употреблено на строеніе пирамиды; то не меньше того времени употреблено на ломку камней, на возку ихъ, на вырытіе каналовъ подъ землею.

CXXVI. Хеопсъ, нуждаясь въ деньгахъ, дошелъ до такаго безстыдства, что велѣлъ дочери своей накопить сколько можно большую сумму, сидя въ непотребномъ мѣстѣ. Сколько собрала она такимъ образомъ, жрецы не сказывали; собрала же сумму, не только требованную отцемъ ея, но и, вздумавъ самой себѣ оставить памятникъ, просила отъ каждаго, приходившаго къ ней, чтобы на сію работу подарилъ ей одинъ камень. Изъ сихъ каменьевъ выстроена пирамида, стоящая посрединѣ трохъ другихъ, супротивъ пирамиды большой; каждый бокъ ея длины имѣетъ полтораста футовъ.

CXXVII. Хеопсъ, по словамъ Египтянъ, царствовалъ пятдесятъ лѣтъ. По смерти его, принялъ престолъ братъ его *Хефринъ*, кото-

Φεὸν αὐτοῦ Χεφρῆνα· καὶ τοῦτον δὲ τῷ αὐτῷ τρόπῳ διαχρᾶσθαι τῷ ἑτέρῳ· τά τε ἄλλα, καὶ πυραμίδα ποιῆσαι, ἐς μὲν τὰ ἐκείνυ μέτρα οὐκ ἀνήκυσαν· ταῦτα γὰρ δὴ καὶ ἡμεῖς ἐμετρήσαμεν· οὔτε γὰρ ὕπεσι οἰκήματα ὑπὸ γῆν, οὔτε ἐκ τοῦ Νείλυ διώρυξ ἥκει ἐς αὐτήν, ὥσπερ ἐς τὴν ἑτέρην, ῥέυσα· διὰ οἰκοδομημένυ δὲ αὐλῶνος, ἔσω νήσου περιῤῥέει, ἐν τῇ αὐτὸν λέγυσι κεῖσθαι Χέοπα. ὑποδείμας δὲ τὸν πρῶτον δόμον λίθυ Αἰθιοπικοῦ ποικίλυ τεσσεράκοντα πόδας, ὑπόβασιν τῆς ἑτέρης τωὐτὸ μέγαθος, ἐχομένην τῆς μεγάλης οἰκοδόμησε. ἑστᾶσι δὲ ἐπὶ λόφυ τοῦ αὐτοῦ ἀμφότεραι, μάλιστα ἐς ἑκατὸν πόδας ὑψηλοῦ. βασιλεῦσαι δὲ ἔλεγον Χεφρῆνα ἔξ καὶ πεντήκοντα ἔτεα.

128. Ταῦτα ἔξ τε καὶ ἑκατὸν λογίζονται ἔτεα, ἐν τοῖσι Αἰγυπτίοισί τε πᾶσαν εἶναι κακότητα, καὶ τὰ ἱρὰ χρόνυ τοσούτυ κατακλῃσθέντα μὴ ἀνοιχθῆναι. τούτυς ὑπὸ μίσεος οὐ κάρτα θέλυσι Αἰγύπτιοι ὀνομάζειν, ἀλλὰ καὶ τὰς πυραμίδας καλέυσι ποιμένος Φιλίτιος, ὅς τοῦτον τὸν χρόνον ἔνεμε κτήνεα κατὰ ταῦτα τὰ χωρία.

129. Μετὰ δὲ τοῦτον, βασιλεῦσαι Αἰγύπτυ Μυκερῖνον ἔλεγον, Χέοπος παῖδα· τῷ τὰ μὲν

рый какъ въ прочемъ послѣдовалъ брату своему, такъ и въ томъ, что выстроилъ пирамиду, неравняющуюся впрочемъ въ величинѣ съ пирамидою брата его: ибо и мы ее мѣрили. Въ ней нѣтъ ни подземныхъ камеръ, ни канала, идущаго въ нее изъ Нила, каковый находится въ прежней, и обтекаетъ островъ, на коемъ, сказываютъ, погребенъ Хеопсъ. Сія пирамида, построенная близь большой пирамиды, менѣе сей четыредесятью футами, и стоитъ на первомъ видѣ эѳіопскихъ камней, испещренныхъ разными красками. Обѣ онѣ стоятъ на одномъ и томъже холмѣ, имѣющемъ высоты до ста футовъ. Хефринъ, сказываютъ, царствовалъ пятьдесятъ шесть лѣтъ.

CXXVIII. Сіи сто шесть лѣтъ были для Египтянъ временемъ всевозможныхъ бѣдствій, и въ продолженіи сихъ запертые храмы никогда не отворялись. Изъ ненависти къ симъ двумъ Государямъ Египтяне не хотятъ даже упоминать именъ ихъ и самыя пирамиды называютъ пирамидами пастуха *Филитиса*, который, во время ихъ сооруженія, пасъ въ тѣхъ мѣстахъ стада.

CXXIX. Послѣ Хефрина, царствовалъ въ Египтѣ *Микеринъ*, сынъ Хеопса. Ему дѣянія

τῦ πατρὸς ἔργα ἀπαδεῖν· τὸν δὲ τά τε ἱρὰ ἀνοῖξαι, καὶ τὸν λεὼν τετρυμένον ἐς τὸ ἔσχατον κακοῦ, ἀνεῖναι πρὸς ἔργά τε καὶ θυσίας· δίκας δέ σφι πάντων βασιλήων δικαιοτάτας κρίνειν. κατὰ τοῦτο μέν νυν τὸ ἔργον, ἀπάντων ὅσοι ἤδη βασιλῆες ἐγένοντο Αἰγυπτίων, αἰνέσσι μάλιστα τοῦτον· τά τε ἄλλα γάρ μιν κρίνειν εὖ, καὶ δὴ καὶ τῷ ἐπιμεμφομένῳ ἐκ τῆς δίκης παρ' ἑωυτῦ διδόντα ἄλλα, ἀποπιμπλάναι αὐτῦ τὸν θυμόν. ἐόντι δὲ ἠπίῳ τῷ Μυκερίνῳ κατὰ τύς πολιήτας, καὶ ταῦτα ἐπιτηδεύοντι, πρῶτον κακῶν ἄρξαι τὴν θυγατέρα ἀποθανεῦσαν αὐτῦ, τὴν μοῦνόν οἱ εἶναι ἐν τοῖσι οἰκίοισι τέκνον. τὸν δὲ, ὑπεραλγήσαντά τε τῷ περιεπεπτώκεε πρήγματι, καὶ βουλόμενον περισσότερόν τι τῶν ἄλλων θάψαι τὴν θυγατέρα, ποιήσασθαι βοῦν ξυλίνην κοίλην. καὶ ἔπειτα καταχρυσώσαντά μιν ταύτην, ἔσω ἐν αὐτῇ θάψαι ταύτην δὴ τὴν ἀποθανεῦσαν θυγατέρα.

130. Αὕτη ὦν ἡ βοῦς γῇ οὐκ ἐκρύφθη, ἀλλ' ἔτι καὶ ἐς ἐμὲ ἦν φανερή· ἐν Σάι μὲν πόλι ἐοῦσα, κειμένη δὲ ἐν τοῖσι βασιληίοισι, ἐν οἰκήματι ἠσκημένῳ· θυμιήματα δὲ παρ' αὐτῇ παντοῖα καταγίζουσι ἀνὰ πᾶσαν ἡμέρην· νύκτα δὲ ἑκάστην

отца не нравились; посему онъ и храмы отперъ, и народу, изнуренному бѣдствіями до крайности, позволилъ заниматься собственными своими работами и приносить богамъ жертвы, и судъ творилъ имъ справедливѣе всѣхъ Царей. По сей-то причинѣ Египтяне и нынѣ превозносятъ его похвалами болѣе всѣхъ Царей, какіе токмо были въ Египтѣ. Онъ не только рѣшилъ дѣла правосудно; но, если кто жаловался на приговоръ его, онъ, для успокоенія таковаго, выдавалъ ему воздаяніе изъ собственной казны. Сей кроткій и попечительный о благѣ своихъ подданныхъ Государь перевое несчастіе претерпѣлъ, лишась дочери, которая одна у него и была. Пораженный тягчайшею горестію, желая дочь свою погребсти какимъ либо отличнѣйшимъ образомъ, велѣлъ сдѣлать изъ дерева корову внутри пустую и вызолотивъ ее, похоронилъ въ ней умершую дочь свою.

CXXX. Корова сія не была спрятана въ землю, но еще и въ мое время стояла открыто въ городѣ Саисѣ, въ одной прекрасной комнатѣ царскихъ чертоговъ; при ней ежедневно курятся ароматы всякаго рода, и каждую ночь горитъ свѣча. Близь сей коровы, въ другомъ покоѣ стоятъ изваянія, какъ сказывали

πάννυχος λύχνος παραχαίεται. ἀγχοῦ δὲ τῆς βοὸς ταύτης ἐν ἄλλῳ οἰχήματι εἰχόνες τῶν παλλαχέων τῶν Μυχερίνῳ ἑσᾶσι, ὡς ἔλεγον οἱ ἐν Σαΐ πόλι ἱρέες· ἑσᾶσι μὲν γὰρ ξύλινοι χολοσσοὶ, ἑξ̔όαι ἀριθμὸν ὡς εἴχοσι μάλιστά χη, γυμναὶ ἐργασμέναι· αἵ τινες μέντοι εἰσὶ, οὐχ ἔχω εἰπεῖν, πλὴν ἢ τὰ λεγόμενα.

131. Οἱ δέ τινες λέγουσι περὶ τῆς βοὺς ταύτης χαὶ τῶν χολοσσῶν, τύνδε τὸν λόγον, ὡς Μυχερῖνος ἠράσθη τῆς ἐωυτοῦ θυγατρὸς, χαὶ ἔπειτα ἐμίγη οἱ ἀεχούσῃ· μετὰ δὲ, λέγουσι ὡς ἡ παῖς ἀπήγξατο ὑπὸ ἄγχεος· ὁ δὲ μιν ἔθαψε ἐν τῇ βοὶ ταύτῃ· ἡ δὲ μήτηρ αὐτῆς τῶν ἀμφιπόλων τῶν προδοσέων τὴν θυγατέρα τῷ πατρὶ ἀπέταμε τὰς χεῖρας· χαὶ νῦν τὰς εἰχόνας αὐτέων εἶναι πεπονθυίας τάπερ αἱ ζωαὶ ἔπαθον. ταῦτα δὴ λέγεσι Φλυηρέοντες, ὡς ἐγὼ δοχέω, τά τε ἄλλα, χαὶ δὴ χαὶ τὰ περὶ τὰς χεῖρας τῶν χολοσσῶν· ταῦτα γὰρ ὧν χαὶ ἡμεῖς ὡρέομεν, ὅτι ὑπὸ χρόνου τὰς χεῖρας ἀποβεβλήχασι, αἵ ἐν ποσὶ αὐτέων ἐφαίνοντο ἑξόαι ἔτι χαὶ ἐς ἐμέ.

132. Ἡ δὲ βῦς τὰ μὲν ἄλλα χαταχέχρυπται Φοινιχέῳ εἵματι· τὸν αὐχένα δὲ χαὶ τὴν χεφαλὴν Φαίνει χεχρυσωμένα παχέι πάρτα χρυσῷ· μεταξὺ δὲ τῶν χεράων, ὁ τῷ ἡλίῳ χύχλος μεμιμημένος ἔπεσι χρύσεος. ἔστι δὲ ἡ βῦς οὐχ ὀρθή, ἀλλ' ἐν γούνασι χειμένη· μέγαθος δὲ, ὅσηπερ

мнѣ Саисскіе жрецы, наложницъ Микеринових. Онѣ колоссальныя, деревянныя, представлены нагими, числомъ до двадцати; кто же онѣ, сказать не могу, выключая того, что мнѣ сказано.

CXXXI. Нѣкоторые о сей коровѣ и о колоссахъ расказываютъ слѣдующее. Микеринъ, влюбившись въ свою дочь, изнасиловалъ ее; послѣ чего она отъ горести повѣсилась и отецъ похоронилъ ее въ этой коровѣ; мать же служанкамъ, предавшимъ дочь отцу, отрѣзала руки, и нынѣ съ ихъ изваяніями случилось тоже, что претерпѣли онѣ живыя. Эти расказы о рукахъ статуй, равно и прочее, что объ нихъ говорятъ, кажется мнѣ, пустая выдумка. Ибо мы сами видѣли, что руки сіи отпали отъ времени и нынѣ еще лежатъ у ногъ сихъ изваяній.

CXXXII. Тѣло коровы покрыто пурпуровою мантіею; а шея и голова весьма толсто вызолочены; между рогами сіяетъ золотое изображеніе солнечнаго круга. Корова стоитъ не на ногахъ, но на колѣнахъ; величиною она съ большую живую корову. Ежегодно выносится однажды изъ комнаты, гдѣ поставлена. Когда Египтяне бьютъ себя, сѣтуя о богѣ,

μεγάλη βῆς ζωή. ἐκφέρεται δὲ ἐκ τοῦ οἰκήματος ἀνὰ πάντα τὰ ἔτεα· ἐπεὰν τύπτωνται οἱ Αἰγύπτιοι τὸν ὑκ ὀνομαζόμενον θεὸν ὑπ' ἐμεῦ ἐπὶ τοιούτῳ πρήγματι, τότε ὦν καὶ τὴν βῆν ἐκφέρεσι ἐς τὸ φῶς· φασὶ γὰρ δὴ αὐτὴν δεηθῆναι τοῦ πατρὸς Μυκερίνου ἀποθνήσκουσαν, ἐν τῷ ἐνιαυτῷ ἄπαξ μιν τὸν ἥλιον καταιδεῖν.

133. Μετὰ δὲ τῆς θυγατρὸς τὸ πάθος, δεύτερα τούτῳ τῷ βασιλέι τάδε γενέσθαι· ἐλθεῖν οἱ μανιήιον ἐκ Βουβοῦς πόλιος, ὡς μέλλοι ἔξ ἔτεα μοῦνον βιώς, τῷ ἑβδόμῳ τελευτήσειν· τὸν δὲ, δεινὸν ποιησάμενον, πέμψαι ἐς τὸ μαντήιον τῷ θεῷ ὀνείδισμα, ἀντιμεμφόμενον ὅτι ὁ μὲν αὐτοῦ πατὴρ καὶ πάτρωος, ἀποκλήισαντες τὰ ἱρὰ, καὶ θεῶν ὑ μεμνημένοι, ἀλλὰ καὶ τοὺς ἀνθρώπους φθείροντες, ἐβίωσαν χρόνον ἐπὶ πολλόν· αὐτὸς δ' εὐσεβὴς ἐὼν, μέλλει ταχέως ἕτω τελευτήσειν. ἐκ δὲ τοῦ χρηστηρίου αὐτῷ δεύτερα ἐλθεῖν λέγοντα, τούτων εἵνεκα καὶ συνταχύνειν αὐτῷ τὸν βίον· ὑ γὰρ ποιῆσαί μιν τὸ χρεὼν ἦν ποιέειν· δεῖν γὰρ Αἴγυπτον κακωθῆναι ἐπ' ἔτεα πεντήκοντά τε καὶ ἑκατόν· καὶ τοὺς μὲν δύο τοὺς πρὸ ἐκείνου γενομένους βασιλέας, μαθεῖν τοῦτο, κῆνον δὲ ὕ. ταῦτα ἀκούσαντα τὸν Μυκερῖνον, ὁς κατακεκριμένων ἤδη οἱ τούτων, λύχνα ποιησάμενον πολλὰ, ὅκως γίνοιτο νύξ, ἀνάψαντα αὐτὰ, πίνειν τε καὶ εὐπαθέειν, ἔτε ἡμέρης ἔτε νυκτὸς

коего именовать при такомъ случаѣ почитаю для себя непозволительнымъ; тогда корову выносятъ на свѣтъ: ибо сказываютъ, что умирающая дочь просила отца своего Микирина, позволить ей однажды въ годъ видѣть свѣтъ.

CXXXIII. По смерти дочери, Царю приключилось второе несчастіе. Изъ города Вутуна принесено ему изреченіе прорицалища, что онъ будетъ жить только шесть лѣтъ, а на седмомъ году умретъ. Пораженный симъ извѣстіемъ, онъ послалъ къ богу съ укоризною, что „отецъ и дядя его заперли храмы, и не только забыли боговъ, но и людей разозлили, жили однакожъ много лѣтъ; онъ же, будучи благочестивъ, умретъ такъ скоро.“ На сіе получилъ онъ отъ прорицалища другой отвѣтъ. „По сей-то причинѣ и ускорится его кончина: ибо онъ не исполнилъ того, что судьбами опредѣлено. Надлежало Египту бѣдствовать сто пятдесятъ лѣтъ; и два предшествовавшіе ему Царя это поняли, а онъ нѣтъ.“ Микиринъ, услышавъ сіе, поелику приговоръ уже надъ нимъ совершенъ, повелѣлъ приготовить великое множество свѣчъ, и ежедневно при наступленіи ночи зажегши ихъ, пилъ и предавался удовольствіямъ, не пропу-

ἀνιέντα, ἔς τε τὰ ἕλεα καὶ τὰ ἄλσεα πλανάμενον, καὶ ἵνα πυνθάνοιτο εἶναι ἐνηβητήρια ἐπιτηδεώτατα. ταῦτα δὲ ἐμηχανᾶτο, θέλων τὸ μαντήϊον ψευδόμενον ἀποδέξαι, ἵνα οἱ δυώδεκα ἔτεα ἀντὶ ἓξ ἐτέων γένηται, αἱ νύκτες ἡμέραι ποιεύμεναι.

134. Πυραμίδα δὲ καὶ ὗτος ἀπελίπετο, πολλὸν ἐλάσσω τῆ πατρὸς, εἴκοσι ποδῶν καταδέουσαν, κῶλον ἕκαστον τριῶν πλέθρων, ἐούσης τετραγώνου· λίθου δὲ ἐς τὸ ἥμισυ Αἰθιοπικῆ τὴν δὴ μετεξέτεροί Φασι Ἑλλήνων Ῥοδώπιος ἑταίρης γυναικὸς εἶναι, οὐκ ὀρθῶς λέγοντες· οὐδὲ ὧν οὐδὲ εἰδότες μοι φαίνονται λέγειν ὅτοι ἥτις ἦν ἡ Ῥοδῶπις· οὐ γὰρ ἄν οἱ πυραμίδα ἀνέθεσαν ποιήσασθαι τοιαύτην, ἐς τὴν ταλάντων χιλιάδες ἀναρίθμητοι, ὡς λόγῳ εἰπεῖν, ἀναισίμωνται· πρὸς δὲ, ὅτι κατὰ Ἄμασιν βασιλεύοντα ἦν ἀκμάζουσα Ῥοδῶπις, ἀλλ' οὐ κατὰ τοῦτον· ἔτεσι γὰρ κάρτα πολλοῖσι ὕστερον τουτέων τῶν βασιλήων τῶν τὰς πυραμίδας ταύτας λιπόντων, ἦν Ῥοδῶπις· γενεὴν μὲν, ἀπὸ Θρηίκης· δούλη δὲ ἦν Ἰάδμενος τῆ Ἡφαιστοπόλιος, ἀνδρὸς Σαμίου, σύνδουλος δὲ Αἰσώπου τοῦ λογοποιοῦ, καὶ γὰρ ὅτος Ἰάδμονος ἐγένετο, ὡς διέδεξε τῇδε οὐκ ἧκισα· ἐπεί τε γὰρ

ская ни дня ни ночи, гуляя по пріятнымъ мѣстамъ и рощамъ нижняго Египта, гдѣ только находилъ для себя увеселительнѣйшія тропинки. Сіе дѣлалъ онъ съ тѣмъ намѣреніемъ, чтобъ уличить прорицалище, будьто вмѣсто шести остается прожить ему двенадцать лѣтъ, обративши ночи въ дни.

CXXXIV. И сей Государь оставилъ по себѣ пирамиду, гораздо меньшую оставленной отцемъ его; каждая четыреугольная сторона ея содержитъ въ себѣ три плеѳра безъ двадцати футовъ; до половины высоты она сдѣлана изъ камня Эѳіопскаго. Нѣкоторые изъ Эллиновъ говорятъ, что сія пирамида есть дѣло непотребной женщины (этеры) Родописы; но это несправедливо. Очень видно, что они и не знаютъ, кто такова была Родописа; иначе не относили бы къ ней построенія пирамиды, которая стоила, такъ сказать, безчисленныхъ тысячь талантовъ. Родописа процвѣтала въ царствованіе Амазиса, а не время сего Государя. Она жила весьма много лѣтъ спустя послѣ Царей, оставившихъ по себѣ пирамиды. Родомъ была она изъ Ѳракіи, раба Іадмона Самосца, сына Иѳеспополя, сослужительница Езопа баснописца. Ибо Езопъ служилъ и у Іадмона; что видно наи-

τε γὰρ πολλάκις κηρυσσόντων Δελφῶν ἐκ θεοπροπίου, ὅς βούλοιτο ποινὴν τῆς Αἰσώπου ψυχῆς ἀνελέσθαι, ἄλλος μὲν ὐδεὶς ἐφάνη, Ἰάδμονος δὲ παιδὸς παῖς ἄλλος Ἰάδμων ἀνείλετο· ἔτω καὶ Αἴσωπος Ἰάδμονος ἐγένετο.

135. Ῥοδῶπις δὲ ἐς Αἴγυπτον ἀπίκετο, Ξάνθεω τῦ Σαμίυ κομίσαντος· ἀπικομένη δὲ κατ' ἐργασίην, ἐλύθη χρημάτων μεγάλων ὑπ' ἀνδρὸς Μιτυληναίυ Χαράξυ, τῦ Σκαμανδρωνύμυ παιδὸς, ἀδελφεῦ δὲ Σαπφῦς τῆς μυσοποιῦ. ἔτω δὴ ἡ Ῥοδῶπις ἐλευθερώθη, καὶ κατέμεινέ τε ἐν Αἰγύπτῳ, καὶ κάρτα ἐπαφρόδιτος γενομένη, μεγάλα ἐκτήσατο χρήματα, ὡς ἂν εἶναι Ῥοδώπιος, ἀτὰρ ὐκ ὥς γε ἐς πυραμίδα τοιαύτην ἐξικέσθαι. τῆς γὰρ τὴν δεκάτην τῶν χρημάτων ἰδέσθαι ἐστὶ ἔτι καὶ ἐς τόδε παντὶ τῷ βυλομένῳ, ὐδὲν δεῖ μεγάλα οἱ χρήματα ἀναθεῖναι. ἐπεθύμησε γὰρ Ῥοδῶπις μνημήϊον ἑωυτῆς ἐν τῇ Ἑλλάδι καταλιπέσθαι, ποίημα ποιησαμένη τοῦτο, τὸ μὴ τυγχάνει ἄλλῳ ἐξευρημένον καὶ ἀνακείμενον ἐν ἱρῷ· τῦτο ἀναθεῖναι ἐς Δελφυὺς μνημόσυνον ἑωυτῆς. τῆς ὧν δεκάτης τῶν χρημάτων ποιησαμένη ὀβελυὺς βυπόρυς πολλυὺς σιδηρέυς, ὅσον ἐνεχω-

паче изъ того, что когда Дельфійскіе жители, по повелѣнію прорицалища, многократно вызывали, *кто бы отмстилъ за смерть Езопа;* то никто не вызвался, кромѣ сына Іадмонова, называвшагося также Іадмономъ. Посему Езопъ былъ слуга Іадмона.

CXXXV. Родописа привезена въ Египетъ Ксанѳомъ, жителемъ Самосскимъ; тамъ торговала она своими прелестями, потомъ выкуплена за большую сумму денегъ Хараксомъ Митиленцемъ, сыномъ Скамандронима, братомъ Стихотворицы Сафо. Такимъ образомъ Родописа, избавившись отъ рабства, осталась въ Египтѣ, и, будучи весьма красива, пріобрѣла великое богатство, какъ Родописа; а не такое, чтобы въ состояніи была соорудить пирамиду. Ибо, судя по десятой долѣ ея богатства, которую и нынѣ можно видѣть каждому, не можно приписывать ей весьма великаго богатства. Она, желая оставить по себѣ памятникъ въ Эллядѣ, сдѣлала такое дѣло, каковаго никто не выдумывалъ и не посвящалъ какому либо храму, и оное, въ память по себѣ, посвятила храму Дельфійскому. Она велѣла на десятую долю своего имущества сдѣлать множество желѣзныхъ рожновъ для жаренія быковъ соотвѣт-

ρτε ἡ δεκάτη οἱ, ἀπέπεμπε ἐς Δελφούς· οἳ καὶ νῦν ἔτι συννενέαται, ὄπισθε μὲν τῷ βωμῷ τὸν Χῖοι ἀνέθεσάν, ἀντίον δὲ αὐτῷ τῷ νηῷ. Φιλέυσι δέ κως ἐν τῇ Ναυκράτι ἐπαφρόδιτοι γίνεσθαι αἱ ἑταῖραι· τῦτο μὲν γὰρ αὕτη, τῆς πέρι λέγεται ὅδε ὁ λόγος, ὕτω δή τι κλεινὴ ἐγένετο, ὡς καὶ πάντες οἱ Ἕλληνες Ῥοδώπιος τοὔνομα ἐξέμαθον· τῦτο δὲ, ὕστερον ταύτης, τῇ οὔνομα ἦν Ἀρχιδίκη, ἀοίδιμος ἀνὰ τὴν Ἑλλάδα ἐγένετο, ἧσσον δὲ τῆς ἑτέρης περιλεσχήνευτος. Χάραξος δὲ ὡς λυσάμενος Ῥοδῶπιν ἀπενόσησε ἐς Μιτυλήνην, ἐν μέλεϊ Σαπφῶ πολλὰ κατεκερτόμησέ μιν. Ῥοδώπιος μέν νυν πέρι πέπαυμαι.

136. Μετὰ δὲ Μυκερῖνον γενέσθαι Αἰγύπτυ βασιλέα ἔλεγον οἱ ἱρέες Ἄσυχιν, τὸν τὰ πρὸς ἥλιον ἀνίσχοντα ποιῆσαι τῷ Ἡφαίστῳ προπύλαια, ἐόντα πολλῷ τε κάλλιστα καὶ πολλῷ μέγιστα. ἔχει μὲν γὰρ καὶ τὰ πάντα προπύλαια τύπυς τε εὖ γεγλυμμένυς, καὶ ἄλλην ὄψιν οἰκοδομημάτων μυρίην· ἐκεῖνα δέ, καὶ μακρῷ μάλιστα. ἐπὶ τούτυ βασιλεύοντος, ἔλεγον ἀμιξίης ἐούσης πολλῆς χρημάτων, γενέσθαι νόμον Αἰγυπτίοισι, ἀποδεικνύντα ἐνέχυρον τῦ πατρὸς τὸν νέκυν, ὕτω λαμβάνειν τὸ χρέος· προστεθῆναι δὲ ἔτι τούτῳ τῷ νόμῳ τόνδε, τὸν διδόντα τὸ

ственно сей десятой долѣ, и послала оныя къ Дельфійцамъ. Рожны сіи, ~~связанные вмѣстѣ~~, и нынѣ можно видѣть за жертвенникомъ, сооруженнымъ Хіосцами, супротивъ самаго храма. Въ Навкратидѣ обыкновенно бываютъ прекрасныя этеры; и та, о коей здѣсь говорится, такъ прославилась, что всѣ Эллины имя Родопиевы затвердили. Послѣ ея воспѣваема была въ Эллядѣ другая красавица, по имени Архидика, но менѣе прежней славилась. Харакса же, когда онъ, выкупивъ Родопису изъ рабства, возвратился въ Митилену, Сафо въ стихахъ своихъ преслѣдовала колкими насмѣшками. Но сего довольно о Родописѣ.

CXXXVI. Жрецы сказывали мнѣ, что послѣ Микирина былъ Царемъ *Асихисъ*, который построилъ съ восточной стороны храма Ифестова прекраснѣйшіе и величайшіе пропилеи. Всѣ пропилеи украшены изваяніями и представляютъ взору безчисленное разнообразіе въ строеніи; но сіи всѣ превосходятъ. Жрецы сказывали, что въ царствованіе Асихиса, по случаю великаго недостатка денегъ въ оборотѣ, изданъ былъ въ Египтѣ законъ, чтобы тому, кто представитъ въ залогъ трупъ отца своего, давать деньги въ займы. Къ сему присовокупленъ былъ другой законъ, что

χρέος, καὶ ἁπάσης κρατέειν τῆς τοῦ λαμβάνοντος θήκης· τῷ δὲ ὑποτιθέντι τοῦτο τὸ ἐνέχυρον, τήνδε ἐπεῖναι ζημίην μὴ βουλομένῳ ἀποδῦναι τὸ χρέος, μήτ' αὐτῷ ἐκείνῳ τελευτήσαντι εἶναι ταφῆς κυρῆσαι μήτ' ἐν ἐκείνῳ τῷ πατρῴῳ τάφῳ, μήτ' ἐν ἄλλῳ μηδενὶ, μήτ' ἄλλον μηδένα τῶν ἑωυτῷ ἀπογενόμενον θάψαι. ὑπερβαλέσθαι δὲ βουλόμενον τοῦτον τὸν βασιλέα τὸς πρότερον ἑωυτῷ βασιλέας γενομένους Αἰγύπτου, μνημόσυνον πυραμίδα λιπέσθαι ἐκ πλίνθων ποιήσαντα· ἐν τῇ γράμματα ἐν λίθῳ ἐγκεκολαμμένα τάδε λέγοντά ἐστι· ΜΗ ΜΕ ΚΑΤΟΝΟΣΘΗΙΣ ΠΡΟΣ ΤΑΣ ΛΙΘΙΝΑΣ ΠΥΡΑΜΙΔΑΣ. ΠΡΟΕΧΩ ΓΑΡ Α'ΥΤΕΩΝ ΤΟΣΟΥΤΟΝ, 'ΟΣΟΝ 'Ο ΖΕΤΣ ΤΩΝ 'ΑΛΛΩΝ ΘΕΩΝ. ΚΟΝΤΩΙ ΓΑΡ 'ΥΠΟΤΥΠΤΟΝΤΕΣ 'ΕΣ ΛΙΜΝΗΝ, 'Ο, ΤΙ ΠΡΟΣΣΧΟΙΤΟ ΤΟΥ ΠΗΛΟΥ ΤΩΙ ΚΟΝΤΩΙ, ΤΟΥΤΟ ΣΥΛΛΕΓΟΝΤΕΣ, ΠΛΙΝΘΟΥΣ Ε'ΙΡΥΣΑΝ. ΚΑΙ ΜΕ ΤΡΟΠΩΙ ΤΟΙΟΥΤΩΙ 'ΕΞΕΠΟΙΗΣΑΝ. τοῦτον μὲν τοσαῦτα ἀποδέξασθαι.

137. Μετὰ δὲ τοῦτον, βασιλεῦσαι ἄνδρα τυφλὸν ἐξ 'Ανύσιος πόλιος, τῷ ὄνομα Ἄννσιν εἶναι. ἐπὶ τούτου βασιλεύοντος, ἐλάσαι ἐπ' Αἴγυπτον χειρὶ πολλῇ Αἰθίοπάς τε καὶ Σαβαχῶν τῶν Αἰθιόπων βασιλέα. τὸν μὲν δὴ τυφ-

заимодавецъ дѣлается господиномъ всего залога, даннаго должникомъ. Кто же изъ положившихъ залогъ не хотѣлъ платить долгъ, того постановлено было, по смерти его, не похоронять ни во гробѣ отца его, ни въ другомъ чьемъ либо, ни ему самому не позволено было погребать своихъ дѣтей, если бы кто изъ нихъ умеръ прежде его. Сей Государь, желая превзойти своихъ предшественниковъ, оставилъ памятникомъ по себѣ пирамиду, сдѣланную изъ кирпича, на коей находится надпись слѣдующаго содержанія: „не презирай меня, сравнивая съ каменными пирамидами. Я превосхожу ихъ столько, сколько Зевесъ превосходитъ другихъ боговъ. Ибо въ озеро впускали шестъ, и изъ того, что къ шесту приставало, дѣлали кирпичъ, и такимъ образомъ меня состроили. Сими дѣлами Асихисъ ознаменовалъ себя.

CXXXVII. Послѣ Асихиса царствовалъ уроженецъ города Анисиса, по имени также *Анисисъ*; онъ былъ слѣпъ. Въ его царствованіе впоргнулись въ Египетъ съ сильнымъ войскомъ Эѳіопляне, подъ предводительствомъ Царя своего *Сабакона*. Слѣпый Государь бѣжалъ и скрылся въ болотахъ, оставивъ царствовать въ Египтѣ Эѳіоплянина, который

λὸν τοῦτον οἴχεσθαι φεύγοντα ἐς τὰ ἕλεα· τὸν δὲ Αἰθίοπα βασιλεύειν Αἰγύπτου ἐπ' ἔτεα πεντήκοντα· ἐν τοῖσι αὐτὸν τάδε ἀποδέξασθαι· ὅκως τῶν τις Αἰγυπτίων ἁμάρτοι τι, κτείνειν μὲν αὐτῶν οὐδένα ἐθέλειν· τὸν δὲ, κατὰ μέγαθος τοῦ ἀδικήματος ἑκάστῳ δικάζειν, ἐπιτάσσοντα χώματα χοῦν πρὸς τῇ ἑωυτῶν πόλι, ὅθεν ἕκαστος ἦν τῶν ἀδικεόντων. καὶ οὕτω ἔτι αἱ πόλιες ἐγένοντο ὑψηλότεραι. τὸ μὲν γὰρ πρῶτον, ἐχώσθησαν ὑπὸ τῶν τὰς διώρυχας ὀρυξάντων, ἐπὶ Σεσώστριος βασιλέος· δεύτερα δὲ, ἐπὶ τοῦ Αἰθίοπος, καὶ κάρτα ὑψηλαὶ ἐγένοντο. ὑψηλέων δὲ καὶ ἑτέρων τασσομένων ἐν τῇ Αἰγύπτῳ πολίων, ὡς ἐμοὶ δοκέει, μάλιστα μὲν Βουβάστι πόλι ἐξεχώσθη, ἐν τῇ καὶ ἱρόν ἐστι Βουβάστιος ἀξιοπηγητότατον· μέζω μὲν γὰρ ἄλλα, καὶ πολυδαπανώτερά ἐστι ἱρά· ἡδονῇ δ' ἰδέσθαι οὐδὲν τούτου μᾶλλον· ἡ δὲ Βούβαστις, κατ' Ἑλλάδα γλῶσσάν ἐστι Ἄρτεμις.

138. Τὸ δ' ἱρὸν αὐτῆς ὧδε ἔχει· πλὴν τῆς ἐσόδου, τὸ ἄλλο νῆσός ἐστι· ἐπὶ γὰρ τοῦ Νείλου διώρυχες ἐστέχουσι, οὐ συμμίσγουσαι ἀλλήλῃσι, ἀλλ' ἄχρι τῆς ἐσόδου τοῦ ἱροῦ ἑκατέρη ἐστέχει· ἡ μὲν, τῇ περιῤῥέουσα, ἡ δὲ, τῇ· εὖρος ἕξσα ἑκατέρη ἑκατὸν ποδῶν· δένδρεσι κατάσκιος. τὰ δὲ προπύλαια,

управлялъ онымъ пятдесятъ лѣтъ. Въ продолженіи сего времени Сабаконъ ознаменовалъ себя слѣдующими дѣлами. Преступниковъ онъ смертію не наказывалъ; но, судя по важности преступленія, каждаго присуждалъ на опредѣленное время дѣлать изъ земли насыпь противъ той части города, гдѣ преступникъ имѣлъ жительство; и такимъ образомъ города стали выше. Сперьва поднята была земля тѣми, кои вырывали каналы, въ царствованіе Сезостриса; потомъ, въ царствованіе сего Эѳіоплянина еще гораздо больше возвышена. Изъ всѣхъ же городовъ Египта, въ коихъ земля также поднята, кажется мнѣ, болѣе всѣхъ возвышена въ городѣ Вувастѣ, гдѣ находится и храмъ *Вувастиды*, весьма достойный примѣчанія. Есть храмы огромнѣйшіе и богатѣйшіе; но для виду нѣтъ пріятнѣе сего города. *Вувастида* на Эллинскомъ языкѣ значитъ *Артемидѣ*.

CXXXVIII. Вотъ описаніе храма сей богини. Земля, на коей онъ построенъ, кромѣ дороги, ведущей къ нему, есть осторовъ: ибо каналы проведенные изъ Нила, одинъ съ другимъ не смѣшиваются; но каждый идетъ особо до входа во храмъ, откуда одинъ изъ нихъ течетъ по одну сторону, другой по другую.

ὕψος μὲν δέκα ὀργυιέων ἐσὶ, τύποισι δὲ ἐξαπήχεσι ἐσκευάδαται ἀξίοισι λόγυ. ἐὸν δ' ἐν μέσῃ τῇ πόλι τὸ ἱρὸν, κατορᾶται πάντοθεν περιὸντι· ἄτε γὰρ τῆς πόλιος μὲν ἐκκεχωσμένης ὑψῦ, τῦ δ' ἱρῦ ὑ κεκινημένυ, ὡς ἀρχῆθεν ἐποιήθη, ἔσοπτόν ἐσι. περιθέει δ' αὐτὸ αἱμασιὴ ἐγγεγλυμμένη τύποισι. ἔσι δ' ἔσωθεν ἄλσος δενδρέων μεγίσων πεφυτευμένων περὶ νηὸν μέγαν, ἐν τῷ δὴ τῶγαλμα ἔνι· εὖρος δὲ καὶ μῆκος τῦ ἱρῦ, πάντη σαδίυ ἐσί. κατὰ μὲν δὴ τὴν ἔξοδον, ἐσρωμένη ἐσὶ ὁδὸς λίθυ ἐπὶ σαδίυς τρεῖς μάλισά κη, διὰ τῆς ἀγορῆς Φέρυσα ἐς τὸ πρὸς ἠῶ· εὖρος δὲ, ὡς τεσσέρων πλέθρων· τῇ δὲ καὶ τῇ τῆς ὁδῦ, δένδρεα ὑρανομήκεα πέφυκε· Φέρει δ' ἐς Ἑρμέω ἱρόν. τὸ μὲν δὴ ἱρὸν τῦτο ὕτω ἔχει.

139. Τέλος δὲ τῆς ἀπαλλαγῆς τῦ Αἰθίοπος ὧδε ἔλεγον γενέσθαι· ὄψιν ἐν τῷ ὕπνῳ τοιήνδε ἰδόντα αὐτὸν, οἴχεσθαι Φεύγοντα· ἐδόκεέ οἱ ἄνδρα ἐπισάντα, συμβυλεύειν τὺς ἱρέας τὺς ἐν Αἰγύπτῳ συλλέξαντα πάντας, μέσυς διαταμέειν· ἰδόντα δὲ τὴν ὄψιν ταύτην λέγειν αὐτὸν, ὡς

Каждый изъ нихъ шириною во сто футовъ, и осѣняется деревьями. Пропилеи — вышиною въ десять оргій, и украшены шести-лакпеевыми фигурами, достойными примѣчанія. Храмъ, находясь посреди города, видѣнъ отовсюду; поелику почва города возвышена насыпью; а храмъ, со времени его построенія, не перемѣнялся; по сему и представляется онъ взору со всѣхъ сторонъ. Онъ окруженъ оградою, съ изваянными фигурами; внутри ограды находится превысокая роща, насажденная вокругъ огромнаго зданія, въ коемъ стоитъ кумиръ богини. Вся Ширина и длина храма составляетъ стадію. При входѣ дорога устлана камнемъ въ длину почти на три стадіи и идетъ чрезъ торжище къ Востоку; широта ея простирается до четырехъ плеѳровъ и вся дорога съ обѣихъ сторонъ обсажена деревьями, восходящими до небесъ; идетъ же она ко храму Ермія. Въ такомъ положеніи сей храмъ находится.

CXXXIX. Наконецъ Сабаконъ оставилъ Египетъ по слѣдующему случаю, какъ жрецы сказывали. Онъ видѣлъ сонъ, коего испугавшись, обратился въ бѣгствѣ. Ему представился во снѣ человѣкъ, который совѣтовалъ собрать всѣхъ, сколько ни есть въ Египтѣ, жрецовъ и перерубить ихъ по поламъ. Послѣ

πρόφασιν οἱ δοκέοι ταύτην τὰς θεὰς προδεικνύναι, ἵνα ἀσεβήσας περὶ τὰ ἱρὰ, κακόν τι πρὸς θεῶν ἢ πρὸς ἀνθρώπων λάβοι. ἔχων ποιήσειν ταῦτα· ἀλλὰ γάρ οἱ ἐξελήλυθέναι τὸν χρόνον, ὁκόσον κεχρῆσθαι ἄρξαντα Αἰγύπτου ἐκχωρήσειν. ἐν γὰρ τῇ Αἰθιοπίῃ ἐόντι αὐτῷ τὰ μαντήϊα, τοῖσι χρέωνται Αἰθίοπες, ἀνεῖλε, ὡς δέοι αὐτὸν Αἰγύπτου βασιλεῦσαι ἔτεα πεντήκοντα. ὡς ὦν ὁ χρόνος ἔτος ἐξήϊε, καὶ αὐτὸν ἡ ὄψις τοῦ ἐνυπνίου ἐπετάρασσε, ἐκὼν ἀπαλλάσσεται ἐκ τῆς Αἰγύπτου ὁ Σαβακῶς.

140. Ὡς δ' ἄρα οἴχεσθαι τὸν Αἰθίοπα ἐξ Αἰγύπτου, αὖτις τὸν τυφλὸν ἄρχειν ἐκ τῶν ἑλέων ἀπικόμενον· ἔνθα πεντήκοντα ἔτεα νῆσον χώσας σποδῷ τε καὶ γῇ, οἴχεε· ὅκως γάρ οἱ Φοιτᾶν σῖτον ἄγοντας Αἰγυπτίων ὡς ἑκάστοισι προστετάχθαι, σιγῇ τῷ Αἰθίοπος ἐς δωρεὴν κελεύειν σφέας καὶ σποδὸν κομίζειν. ταύτην τὴν νῆσον ὑδεὶς πρότερον ἐδυνάσθη Ἀμυρταίου ἐξευρεῖν· ἀλλὰ ἔτεα ἐπὶ πλέω ἢ πεντακόσια ὑκ οἷοί τε ἦσαν αὐτὴν ἀνευρεῖν οἱ πρότεροι γενόμενοι βασιλῆες Ἀμυρταίου· οὔνομα δὲ ταύτῃ τῇ νήσῳ Ἐλβώ· μέγαθος δ' ἐστὶ πάντη δέκα σταδίων.

сего сновидѣнія Сабаконъ сказалъ: мнится мнѣ, боги проявили сіе видѣніе для того, чтобы онъ, учинивъ какое либо преступленіе противу святыни, подвергнулся злополучію отъ боговъ или человѣковъ. Но онъ таковаго преступленія не сдѣлаетъ; а, какъ прошло время, въ продолженіе котораго должно было ему царствовать въ Египтѣ; то онъ его оставитъ." Ибо, когда онъ былъ въ Эѳіопіи, тамошнія прорицалища изрекли, что „онъ долженъ царствовать въ Египтѣ пятдесятъ лѣтъ." И такъ, поелику срокъ сей миновалъ, и видѣнный имъ сонъ смутилъ его; то онъ Египетъ оставилъ добровольно.

CXL. По удаленіи Сабакона изъ Египта, славный Царь паки принялъ престолъ, оставивъ болотистыя мѣста, гдѣ, прожив пятдесятъ лѣтъ, насыпью земли и золы составилъ островъ. Для исполненія сего предпріятія, онъ всѣмъ Египтянамъ, наложившимъ на себя обязанность, тайно отъ Сабакона, приносить ему пшеницу, приказалъ купно съ тѣломъ приносить въ даръ и золу. Острова сего прежде царствованія Амирпея никто не могъ опыскать, хотя предшественники его занимались тѣмъ болѣе семисотъ лѣтъ. Островъ сей именуется *Элво*; величины имѣетъ онъ во всѣ стороны десять стадій.

141. Μετὰ δὲ τοῦτον, βασιλεῦσαι τὸν ἱρέα τοῦ Ἡφαίστου, τῷ οὔνομα εἶναι Σεθῶν· τὸν ἐν ἀλογίῃσι ἔχειν παραχρησάμενον τῶν μαχίμων Αἰγυπτίων, ὡς οὐδὲν δεησόμενον αὐτῶν· ἄλλά τε δὴ ἄτιμα ποιεῦντα ἐς αὐτούς, καὶ σφέας ἀπελέσθαι τὰς ἀρούρας, τοῖσι ἐπὶ τῶν προτέρων βασιλήων δεδόσθαι ἐξαιρέτους ἑκάστῳ δυώδεκα ἀρούρας. μετὰ δέ, ἐπ' Αἴγυπτον ἐλαύνειν στρατὸν μέγαν Σαναχάριβον βασιλέα Ἀραβίων τε καὶ Ἀσσυρίων· οὔκων δὴ ἐθέλειν τοὺς μαχίμους τῶν Αἰγυπτίων βοηθέειν· τὸν δὲ ἱρέα ἐς ἀπορίην ἀπειλημένον, ἐσελθόντα ἐς τὸ μέγαρον, πρὸς τῷ ἀγάλματα ἀποδύρεσθαι οἷα κινδυνεύει παθέειν· ὀλοφυρόμενον δ' ἄρα μιν ἐπελθεῖν ὕπνον, καὶ οἱ δόξαι ἐν τῇ ὄψι, ἐπιστάντα τὸν θεὸν θαρσύνειν ὡς οὐδὲν πείσεται ἄχαρι, ἀντιάζων τὸν Ἀραβίων στρατόν· αὐτὸς γάρ οἱ πέμψειν τιμωρούς. τούτοισι δή μιν πίσυνον τοῖσι ἐνυπνίοισι, παραλαβόντα Αἰγυπτίων τοὺς βουλομένους οἱ ἕπεσθαι, στρατοπεδεύσασθαι ἐν Πηλουσίῳ· ταύτῃ γάρ εἰσι αἱ ἐσβολαί· ἕπεσθαι δέ οἱ τῶν μαχίμων μὲν οὐδένα ἀνδρῶν, καπήλους δέ, καὶ χειρώναχτας, καὶ ἀγοραίους ἀνθρώπους. ἐνθαῦτα ἀπιχομένους, τοῖσι ἐναντίοισι αὐτοῖσι ἐπιχυθέντας νυκτὸς μῦς ἀρυ-

